

OEUVRES

COMPLÈTES

D'HIPPOCRATE,

TRADUCTION NOUVELLE

AVEC LE TEXTE GREC EN REGARD,

COLLATIONNÉ SUR LES MANUSCRITS ET TOUTES LES ÉDITIONS ;

ACCOMPAGNÉE D'UNE INTRODUCTION,

DE COMMENTAIRES MÉDICAUX, DE VARIANTES ET DE NOTES PHILOLOGIQUES ;

Suivie d'une table générale des matières,

Par É. LITTRÉ,

DE L'INSTITUT (ACADÉMIE DES INSCRIPTIONS ET BELLES - LETTRES),
DE LA SOCIÉTÉ D'HISTOIRE NATURELLE DE HALLE,
ET DE LA SOCIÉTÉ DE BIOLOGIE DE PARIS.

Τοῖς τῶν παλαιῶν ἀνδρῶν
ὁμιλῆσαι γράμμασι.
GAL.

TOME SIXIÈME.

A PARIS,

CHEZ J. B. BAILLIÈRE,

LIBRAIRE DE L'ACADÉMIE NATIONALE DE MÉDECINE,

RUE DE L'ÉCOLE-DE-MÉDECINE, 17 ;

LONDRES, CHEZ H. BAILLIÈRE, 219, REGENT-STREET ;

A MADRID, CHEZ CH. BAILLY, LIBRAIRE.

1849.


WELLCOME
HISTORICAL
MEDICAL
LIBRARY

ΠΕΡΙ ΤΕΧΝΗΣ.

DE L'ART.

ARGUMENT.

Ce petit traité a pour but de combattre ceux qui prétendaient que la médecine n'existait pas et que la guérison, quand elle arrivait, était due non à l'art médical mais à la fortune. On prendra une idée très-suffisante de l'enchaînement des idées et de la nature des arguments en parcourant les sommaires que j'ai placés en tête des chapitres.

BIBLIOGRAPHIE.

MANUSCRITS.

2253 = A, 2255 = E, 2144 = F, 2141 = G, 2142 = H, 2140 = I, 2143 = J, 2145 = K, Cod. Serv. = L, 1868 = O, 2332 = X, 2148 = Z, Imp. Samb. ap. Mack. = P′, Cod. Fevr. = Q′.

ÉDITIONS, TRADUCTIONS ET COMMENTAIRES.

André Brentius, traduction latine, Lugduni, 1506. — Joh. Gorræus, avec d'autres opuscules hippocratiques, Paris, 1542 et 1622. — Jan. Cornarius, avec d'autres opuscules d'Hippocrate, Basil., 1543. — Heurnius, avec un Commentaire, Lugd. Batav., 1597. — Jac. Fontanus, avec un Commentaire, Avignon, 1601. — Langguth, progr. de paradoxo Hippocratis in libr. De arte, v, 20, Vitteb., 1754, in-4°. — F. O. Dewez, Hippocrates, von der Kunst, aus dem Griechischen übersetzt, Wien, 1802, in-12. — Daremberg, voy. t. IV, p. 627.

ΠΕΡΙ ΤΕΧΝΗΣ.

1. Εἰσί τινες οἳ τέχνην πεποίηνται τὸ τὰς τέχνας [1] αἰσχροεπεῖν, ὡς μὲν οἴονται οἱ τοῦτο διαπρησσόμενοι, οὐχ ὃ ἐγὼ λέγω, ἀλλ' [2] ἱστορίης οἰκείης ἐπίδειξιν ποιεύμενοι. Ἐμοὶ δὲ τὸ μέν [3] τι τῶν μὴ εὑρημένων ἐξευρίσκειν, ὅ τι καὶ [4] εὑρεθὲν κρέσσον ἢ ἢ ἀνεξεύρετον, [5] ξυνέσιος δοκέει ἐπιθύμημά τε καὶ ἔργον εἶναι, καὶ [6] τὸ τὰ ἡμίεργα ἐς τέλος ἐξεργάζεσθαι ὡσαύτως· τὸ [7] δὲ λόγων οὐ καλῶν τέχνῃ τὰ τοῖς ἄλλοις εὑρημένα αἰσχύνειν προθυμέεσθαι, ἐπανορθοῦντα μὲν μηδὲν, διαβάλλοντα δὲ τὰ τῶν εἰδότων πρὸς τοὺς μὴ εἰδότας ἐξευρήματα, οὐκέτι δοκέει [8] ξυνέσιος ἐπιθύμημά τε καὶ ἔργον εἶναι, ἀλλὰ [9] κακαγγελίη μᾶλλον φύσιος ἢ [10] ἀτεχνίη· μούνοισι γὰρ τοῖσιν ἀτέχνοισιν ἡ ἐργασίη αὕτη ἁρμόζει, φιλοτιμεομένων μὲν, οὐδαμᾶ δὲ δυναμένων κακίῃ ὑπουργέειν εἰς [11] τὸ τὰ τῶν πέλας ἔργα ἢ ὀρθὰ ἐόντα διαβάλλειν, ἢ οὐκ ὀρθὰ μωμέεσθαι. Τοὺς μὲν οὖν [12] ἐς τὰς ἄλλας τέχνας τούτῳ τῷ τρόπῳ ἐμπίπτοντας, οἷσι μέλει τε, καὶ [13] ὧν μέλει, οἱ δυνάμενοι κωλυόντων· ὁ δὲ παρεὼν λόγος τοῖσιν ἐς ἰητρικὴν οὕτως ἐμπορευομένοις ἐναντιώσεται, θρασυνόμενος μὲν διὰ [14] τούτους οὓς ψέγει, εὐπορέων δὲ διὰ τὴν τέχνην ᾗ βοηθεῖ, δυνάμενος δὲ διὰ σοφίην ᾗ πεπαίδευται.

2. [15] Δοκέει δή μοι τὸ μὲν σύμπαν τέχνη εἶναι οὐδεμία οὐκ ἐοῦσα·

[1] Αἰσχροεπεῖν A. – αἰσχροποιεῖν vulg. – αἰσχροποιέειν Lind., Mack. – ἀτιμάζειν P'. – οὐ τ. δ. ὃ ἐγὼ λέγω vulg. – οἳ τ. δ. οὐχ ὃ ἐγὼ λέγω EHKOZ. – οἳ τ. δ. ὃ ἐγὼ λέγω (F, mutat. al. manu) G. – οὐχ ὃ Q', Zwing. in marg., Foes. in not. – ἀλλὰ A. — [2] γνώσεως Q' – οἰκ. om. Zwing. — [3] τοι A. – τῶν ἑαυτῶν εὑρισκομένων Foes. in not. – εὑρισκομένων Codd. (præter A), Zwing., Heurn. — [4] ἐρευθὲν A. – ἢ om. vulg. – J'ai ajouté, sans manuscrit il est vrai, ἢ, qui a si facilement pu disparaître à cause de l'ἢ suivant. – ἀνεξεύρητον A. — [5] σ. A (Mack, et alibi). – ἐπιθυμήματά τε (bis) J. — [6] τὸ om. Ald. — [7] τὸ δ' ἐκ λ. L. – τοῖς om. E. – προθυμεῖσθαι A. – δὲ pro μὲν A. — [8] σ. OZ, Ald. – σ. δοκέει A. — [9] κακαγγελίη A. – καταγγελίη vulg. – παράστασις, κατηγορία P'. – Galien lisait κακαγγελίη; car on trouve dans son Gl. : κακαγγελίη, κακοῤῥημοσύνη, κακολογία. — [10] ἀτεχνίης Zwing. in marg., Lind. – γὰρ δὴ A. – γὰρ διὰ I. – φιλοτιμεομένων A. – φιλοτιμουμένων vulg. – οὐδ' ἅμα δὲ A. – οὐδαμῶς EQ'. – κακίῃ A. – κακίης vulg. — [11] τὸ om. J. – τοῦ pro τῶν Kühn. — [12] ἐς A. – εἰς vulg. – μέλλει (bis) IKOZ, Ald. — [13] καὶ ὧν AL, Zwing. in marg. – καὶ ἐν οἷσι vulg. – καὶ ὧν καὶ ἐν οἷσι GJZ. – κω-

DE L'ART.

1. (*Discours destiné à démontrer la réalité de la médecine. — Exorde dirigé contre les sophistes qui, sans savoir spécial, nient qu'il y ait aucun art réel.*) Il est des gens qui se font un art d'avilir les arts, s'imaginant faire par ce genre de travail non pas ce que je dis, mais étalage de leur propre savoir. A mon sens, découvrir chose qui n'ait pas été découverte et qui, trouvée, vaille mieux qu'ignorée, ou achever ce qui est resté inachevé, c'est le but et le fait de l'intelligence ; au contraire vouloir, par un artifice peu honorable de langage, vilipender les inventions d'autrui, sans rien perfectionner, tout en décriant les travaux des savants auprès des ignorants, ce n'est plus le but et le fait de l'intelligence, mais c'est plutôt ou annonce d'un mauvais naturel ou impéritie ; car à l'impéritie seule il appartient de vouloir, mais sans aucunement le pouvoir, satisfaire la malveillance qui aime, dans les ouvrages du prochain, à calomnier le bon, à railler le mauvais. Que de telles attaques contre les autres arts soient réprimées par ceux qui le peuvent, en tant qu'ils en ont souci et pour les points qui les intéressent ; quant au présent discours, il combattra les diatribes de même nature contre la médecine, enhardi par la qualité des adversaires qu'il blâme, plein de ressources à cause de l'art qu'il défend, puissant à cause de la doctrine sur laquelle il s'appuie.

2. (*Argument général : ce qui est se voit, ce qui n'est pas ne se voit pas; or, les arts se voient, donc ils sont réels.*) En

λυέντων A. – τοῖσιν A. – τοῖς vulg. – ἐς om. GZ. – εἰς O. – οὕτως om. A. – ἐπιπορευομένοις A. – ἐμπεπορευμένοις L. – ἐμπορευομένοις, καθοδοιποροῦσι κέρδους ἐλευθέρου χάριν· Ὅμηρος γάρ φησιν· ἔμπορος οὐ γὰρ νηὸς ἐπήβολος οὐδ' ἐρετάων gl. E. – Cette glose donne une fausse interprétation du mot — [14] τούτους A. – τουτέους vulg. – τοὺς ψέγειν ἐθέλοντας pro οὓς ψέγει A. — [15] ὅτι ὑπαρκτικαί εἰσιν αἱ τέχναι in marg. GI. – δὲ Ald.

καὶ γὰρ ἄλογον τῶν ἐόντων [1]τι ἡγεῖσθαι μὴ ἐόν· ἐπεὶ τῶν γε μὴ ἐόντων τίνα ἂν τίς οὐσίην θεησάμενος ἀπαγγείλειεν ὡς ἔστιν; [2]εἰ γὰρ δὴ ἔστι γ' ἰδεῖν τὰ μὴ ἐόντα, ὥσπερ τὰ ἐόντα, οὐκ οἶδ' ὅπως ἄν τις αὐτὰ νομίσειε μὴ ἐόντα, ἅ γε εἴη [3]καὶ ὀφθαλμοῖσιν ἰδεῖν καὶ γνώμῃ νοῆσαι ὡς ἔστιν· [4]ἀλλ' ὅπως μὴ οὐκ ᾖ τοῦτο τοιοῦτον· ἀλλὰ [5]τὰ μὲν ἐόντα αἰεὶ ὁρᾶταί τε καὶ [6]γινώσκεται, τὰ δὲ μὴ ἐόντα οὔτε ὁρᾶται οὔτε γινώσκεται. Γινώσκεται τοίνυν [7]δεδειγμένων ἤδη τῶν τεχνέων, καὶ οὐδεμία ἐστὶν ἥ γε ἔκ τινος εἴδεος οὐχ ὁρᾶται. Οἶμαι[8] δ' ἔγωγε καὶ τὰ ὀνόματα αὐτὰς διὰ τὰ εἴδεα λαβεῖν· [9]ἄλογον γὰρ ἀπὸ τῶν ὀνομάτων τὰ εἴδεα ἡγεῖσθαι βλαστάνειν, καὶ ἀδύνατον· [10]τὰ μὲν γὰρ ὀνόματα [11]φύσιος νομοθετήματά ἐστι, τὰ δὲ εἴδεα οὐ νομοθετήματα, ἀλλὰ βλαστήματα.

3. Περὶ μὲν οὖν τούτων εἴ γέ τις μὴ ἱκανῶς ἐκ τῶν εἰρημένων ξυνίησιν, ἐν [12]ἄλλοισιν ἂν λόγοισι σαφέστερον διδαχθείη. [13]Περὶ δὲ ἰητρικῆς, ἐς ταύτην γὰρ ὁ λόγος, ταύτης οὖν τὴν ἀπόδειξιν ποιήσομαι, καὶ πρῶτόν γε διοριεῦμαι ὃ νομίζω ἰητρικὴν εἶναι, τὸ δὴ πάμπαν ἀπαλλάσσειν τῶν νοσεόντων τοὺς καμάτους, καὶ τῶν νοσημάτων τὰς σφοδρότητας ἀμβλύνειν, καὶ τὸ [14]μὴ ἐγχειρέειν τοῖσι κεκρατημένοισιν

[1] Τι om. GZ. – ἐνεὸν A. – τις οὐσίην, alia manu mut. in τίσουσιν ἣν A. – θεησάμ. A. – θεασάμ. vulg. — [2] εἰ γὰρ (γὰρ om. L) δὴ (μὴ pro δὴ Zwing. in marg., Mack) ἔστι γ' (γ' om. K) ἰδεῖν τὰ μὴ ἐόντα (ὄντα OZ) ὥσπερ τὰ ἐόντα, οὐκ οἶδ' ὅπως ἄν τις αὐτὰ νοήσειε μὴ ἐόντα ὥσπερ τὰ ἐόντα (ὥσ. τ. ἐ. om. K) ἅ γε vulg. – εἰ γὰρ δὴ ἔστι γ' ἰδεῖν τὰ ἐόντα ὥσπερ τὰ μὴ ἐόντα, οὐκ οἶδ' ὅπως ἄν τις (pro οὐκ οἶδ' ὅ. ἄ. τ. apposuit recentior manus margini οὐκ ἰδεῖν, πῶς ἄν τις) αὐτὰ νομίσειε μὴ ἐόντα, ἅ γε A. – Il faut supprimer avec K et aussi avec A, le second ὥσπερ τὰ ἐόντα de vulg.; avec cela le texte est excellent. Dans A il y a eu, de la part du copiste, une transposition vicieuse pour le μὴ de la première ligne : c'est ce qui a induit un correcteur anonyme à modifier la phrase comme il a fait à la marge; mais cette correction n'est pas la véritable. Il faut aussi prendre νομίσειε de A. — [3] κἂν pro καὶ EHJK, Zwing. in marg. – ὀφθαλμοῖς A. — [4] ἀλλ' ὅπως σκεπτέον μὴ Heurn. in marg. – ᾗ A. – εἴη vulg. – τὸ pro τοῦτο J. — [5] τὸ μὲν ἐὸν A. – ἀεὶ Z. – τε A. – τε om. vulg. — [6] γιγνώσ. (bis) IO. – ὄντα Z. — [7] δεδιδαγμένων A. – εἴδη pro ἤδη L. – Foes a pris dans sa traduction εἴδη; mais cette correction n'est pas bonne. — [8] δὲ A. – αὐτὰς A, Zwing., Lind., Mack. – αὐτῆς vulg. – αὐτῶν EHKOP'Q'. – αὐτῶν ὡς τὰ εἴδ. Merc. in marg. — [9] ἄλλογον A. – ἡγ. τὰ εἴδεα A. — [10] σήμαινε τί εἰσιν ὀνόματα καὶ τί τὰ εἴδη in marg. A. — [11] φύσεως A. – Platon, Charm. p. 175 B : οὐ δυνάμεθα εὑρεῖν ἐφ' ὅτῳ ποτὲ τῶν ὄντων ὁ ὀνοματοθέτης τοῦτο τοὔνομα ἔθετο, τὴν σωφροσύνην. C'est ainsi que ce passage est imprimé dans l'édition de MM. Baiter, Orelli et Winckelmann. Mais des variantes donnent νομοθέτης,

général, à mon avis, il n'y a point d'art qui ne soit réel; car il est absurde de prétendre qu'une chose qui est n'est pas. Et qui jamais, trouvant visible la substance des choses qui ne sont pas, affirma qu'elles sont? Car s'il était possible de voir ce qui n'est pas comme on voit ce qui est, je ne conçois pas comment on en nierait la réalité, puisqu'on en verrait par les yeux et comprendrait par la raison l'existence. Mais prenez garde, il n'en est pas ainsi; ce qui est se voit et se connaît toujours; ce qui n'est pas ne se voit ni ne se connaît. Or, la connaissance s'acquiert à fur et mesure que les arts sont montrés, et il n'y en a aucun qu'on ne voie sortir d'une certaine réalité. Et, de fait, ce sont les réalités qui ont donné le nom aux arts; car il est absurde de penser que les réalités sont produites par les noms; la chose est impossible; les noms sont des conventions que la nature impose, mais les réalités sont non des conventions qu'elle impose, mais des productions qu'elle enfante.

3. (*L'auteur passe à son sujet spécial, la médecine, qu'il définit. L'objet en est de guérir les maladies, avec la condition de ne pas toucher aux cas où le mal est plus fort qu'elle.*) Sur ce sujet général, si ce qui vient d'être dit n'a pas été suffisamment compris, on s'instruira plus à fond dans d'autres traités. Quant à la médecine (car c'est d'elle qu'il s'agit), j'en vais faire la démonstration; et d'abord, la définissant telle que je la conçois, je dis que l'objet en est, en général, d'écarter les souffrances des malades et de diminuer la violence des maladies, tout en s'abstenant de toucher à ceux chez qui

et je crois que notre passage du traité *De l'art* doit faire prendre cette dernière leçon dans le Charmide, quelque préférable que paraisse au premier abord ὀνοματοθέτης. La phrase est obscure, il est vrai, dans le traité *De l'art;* il me semble qu'elle signifie : la nature, φύσις, est le législateur qui détermine les noms; mais l'εἶδος est la production même de la nature. – τουτέων Lind. – γε om. A. — [12] ἄλλοισιν ἂν λόγοισιν A. – ἄλλοις ἂν λόγοις vulg. – ἀναλόγοις pro ἂν λ. (G, mut. in ἀναλόγως) KJZ. – ἀναλόγοις et ἀναλόγως L. — [13] περὶ ὑπάρξεως ἰατρικῆς in tit. O. – δὲ om. K. – διοριεῦμαι A. – δὴ ὁριεῦμαι (sine δὲ EHK) vulg. – νομίζων A. – ἀπαλάσσειν A. — [14] μὴ om. L. – ἐγχειρεῖν O. – κεκρατημένοις A

ὑπὸ τῶν νοσημάτων, [1]εἰδότας ὅτι ταῦτα οὐ δύναται ἰητρική. Ὡς οὖν ποιέει τε ταῦτα, καὶ οἵη τέ ἐστι διὰ παντὸς ποιέειν, περὶ [2]τούτου μοι δὴ ὁ λοιπὸς ἔσται λόγος· ἐν δὲ τῇ τῆς τέχνης ἀποδείξει ἅμα καὶ τοὺς λόγους τῶν αἰσχύνειν αὐτὴν οἰομένων [3]ἀναιρήσω, ᾗ ἂν ἕκαστος αὐτῶν πρήσσειν τι οἰόμενος τυγχάνῃ.

4. [4]Ἐστὶ μὲν οὖν μοι ἀρχὴ τοῦ λόγου, ἣ καὶ ὁμολογηθήσεται παρὰ πᾶσιν· ὅτι [5]μὲν ἔνιοι ἐξυγιαίνονται τῶν θεραπευομένων ὑπὸ ἰητρικῆς ὁμολογέεται· ὅτι δὲ οὐ πάντες, ἐν τούτῳ ἤδη ψέγεται ἡ τέχνη, καί φασιν οἱ τὰ χείρω λέγοντες, διὰ τοὺς ἁλισκομένους ὑπὸ τῶν νοσημάτων, [6]τοὺς ἀποφεύγοντας αὐτὰ τύχῃ ἀποφεύγειν καὶ οὐ διὰ τὴν τέχνην. Ἐγὼ δὲ [7]οὐκ ἀποστερέω μὲν οὐδ' αὐτὸς τὴν [8]τύχην ἔργου οὐδενὸς, ἡγεῦμαι δὲ τοῖσι μὲν κακῶς θεραπευομένοισι νουσήμασι τὰ πολλὰ [9]τὴν ἀτυχίην ἕπεσθαι, τοῖσι δὲ εὖ τὴν εὐτυχίην. Ἔπειτα δὲ καὶ πῶς οἷόν τέ ἐστι τοῖς ὑγιασθεῖσιν ἄλλο τι αἰτιήσασθαι ἢ τὴν τέχνην, εἴπερ χρώμενοι αὐτῇ καὶ ὑπουργέοντες ὑγιάσθησαν; τὸ μὲν γὰρ τῆς τύχης εἶδος [10]ψιλὸν οὐκ ἠβουλήθησαν θεήσασθαι, ἐν ᾧ τῇ τέχνῃ ἐπέτρεψαν σφᾶς αὐτοὺς, [11]ὥστε τῆς μὲν ἐς τὴν τύχην ἀναφορῆς ἀπηλλαγμένοι εἰσὶ, τῆς μέντοι ἐς τὴν τέχνην οὐκ ἀπηλλαγμένοι· ἐν ᾧ γὰρ [12]ἐπέτρεψαν καὶ ἐπίστευσαν αὐτῇ σφᾶς αὐτοὺς, ἐν τούτῳ αὐτῆς καὶ τὸ εἶδος ἐσκέψαντο καὶ τὴν δύναμιν, [13]περανθέντος τοῦ ἔργου, ἔγνωσαν.

5. Ἐρεῖ δὴ [14]ἐνταῦθα ὁ τἀναντία λέγων, ὅτι πολλοὶ ἤδη καὶ οὐ χρησάμενοι ἰητρῷ νοσέοντες ὑγιάσθησαν, καὶ ἐγὼ τῷ λόγῳ οὐκ ἀπιστέω· δοκέει [15]δέ μοι οἷόν τε εἶναι καὶ ἰητρῷ μὴ χρωμένους ἰητρικῇ

[1] Εἰδέτω πᾶς L. – ὅτι πάντα ταῦτα δύναται Defin. med. auctor. – πάντα sine οὐ A. – οὐ om. (E, al. manu restit.) HIKL. — [2] τοῦτό μοι ὁ λυπὸς λ. ἤδη ἔσται A. — [3] ἀνερήσω Z. – τυγχάνει A. — [4] ἔσται Lind. – μὲν AEJ. – μὲν om. vulg. – μοι om. Q'. – ἣ Mack. – ὁμολογήσεται A. — [5] γὰρ pro μὲν A. – ἐξυγιαινόν (sic) A. – ὁμολογεέτω Q'. – δ' A. – Je pense qu'il faut lire ἀναλισκομένους; cependant, comme ἁλισκόμενα se trouve plus loin, p. 14, note 7, avec le sens d'ἀναλισκόμενα, je n'ai pas voulu changer deux fois ce mot. — [6] καὶ τοὺς vulg. – καὶ om. A. — [7] οὐκ om. A. — [8] τέχνην H. – ἡγοῦμαι A. – μὲν om. A. – νοσ. A. – τὰ om. A. — [9] τῇ ἀτυχίῃ H. – ἐξυγιασθ. A. – ἐξυγιανθ. vulg. – αἰτιήσ. A. – αἰτιάσ. vulg. – εἴπερ (al. manu ἤπερ) χρεόμ. αὐτῇ (al. manu αὐτοὶ) A. – αὐτοὶ GZ Ald. – ὑγιάσθησαν AEHIKQ'. – ὑγίανθ. vulg. – Z est ici interrompu. — [10] δαψιλὸν Q'. – ἐβουλ. A. — [11] ὅτε Q'. – ἀπηλαγ. (bis) A. — [12] ἐπ. αὐτοὶ (al. manu αὐτοὺς) σφᾶς καὶ ἐπίστευσαν, ἐν τούτω A. – σφὰς O. — [13] περαθέντος emend. al. manu A. – παραθέντος LQ'. — [14] ἐντ. om. A. – ἰητροῖσι EHKQ'. –

le mal est le plus fort; cas placé, comme on doit le savoir, au-dessus des ressources de l'art. Qu'elle remplisse toutes ces conditions et qu'elle soit en état de les remplir constamment, c'est sur quoi va rouler le reste de mon discours; et, tout en faisant la démonstration de l'art, je ruinerai les arguments de ceux qui prétendent l'avilir, et je les ruinerai par les endroits où chacun d'eux s'imagine obtenir quelque succès.

4. (*Objection : tous les malades ne guérissent pas; ceux qui guérissent le doivent à la fortune. — Réponse : la puissance de la fortune est petite.*) Je commence par un point que tous m'accorderont, c'est que, parmi les malades traités par la médecine, quelques-uns guérissent; non pas tous; et c'est justement le reproche qu'on lui adresse. Les adversaires, arguant des morts que causent les maladies, prétendent que ceux qui en réchappent, réchappent par le bénéfice de la fortune et non de l'art. Pour moi, je ne contesterai pas à la fortune toute influence; mais je crois que les maladies traitées mal, sont le plus souvent suivies d'un mauvais succès, et, traitées bien, d'un bon succès. Puis, à quoi les personnes guéries pourraient-elles attribuer leur guérison, si ce n'est à l'art, vu qu'elles se sont rétablies par son concours et ses services? Évidemment, par cela seul qu'elles s'y sont confiées, elles ne se soucièrent pas de prendre en considération la mince réalité de la fortune, et de la sorte elles sont quittes envers l'une, mais non envers l'autre; car, en se remettant et confiant à l'art, elles en ont reconnu la réalité, et le résultat leur en a démontré la puissance.

5. (*Objection : des malades guérissent sans médecin. — Réponse : ils ont guéri en faisant ceci ou cela; or, le choix entre ce qui est bon et ce qui est mauvais, implique l'existence de l'art.*) Ici, l'adversaire objectera que bien des malades ont guéri sans l'intervention du médecin. Je n'en disconviens pas;

ἰητρῶν I.– ὑγιάσθησαν E.– ὑγιάνθ. vulg.— [15] γὰρ pro δὲ A. – ἰατρῷ O.– χρωμένοις Gorr.– χρεόμενος Heurn. in marg. – ἰατρικὴ O. – ἰητρικὴν A.

περιτυχεῖν, οὐ μὴν [1] ὥστε εἰδέναι [2] ὅ τι ὀρθὸν ἐν αὐτῇ ἐνείῃ, καὶ ὅ τι μὴ ὀρθὸν, [3] ἀλλ' ὥστ' ἂν ἐπιτύχοιεν τοιαῦτα θεραπεύσαντες ἑωυτοὺς, ὁποῖά περ ἂν ἐθεραπεύθησαν, εἰ καὶ ἰητροῖσιν ἐχρῶντο. Καὶ τοῦτό [4] γε τεκμήριον μέγα τῇ οὐσίῃ τῆς τέχνης, ὅτι ἐοῦσά τέ ἐστι καὶ μεγάλη, ὅπου γε φαίνονται καὶ οἱ μὴ νομίζοντες αὐτὴν εἶναι, σωζόμενοι δι' [5] αὐτήν· πολλὴ γὰρ ἀνάγκη καὶ τοὺς μὴ χρωμένους ἰητροῖσι, νοσήσαντας δὲ καὶ [6] ὑγιασθέντας εἰδέναι, ὅτι ἢ δρῶντές τι ἢ μὴ δρῶντες ὑγιάσθησαν· ἢ γὰρ ἀσιτίῃ, ἢ πολυφαγίῃ, ἢ ποτῷ πλείονι, ἢ [7] δίψῃ, ἢ λουτροῖσιν, ἢ ἀλουσίῃ, ἢ πόνοισιν, ἢ ἡσυχίῃ, ἢ ὕπνοισιν, ἢ ἀγρυπνίῃ, ἢ [8] τῇ ἁπάντων τούτων ταραχῇ χρώμενοι, ὑγιάνθησαν· καὶ τῷ ὠφελῆσθαι πολλὴ ἀνάγκη αὐτούς ἐστιν ἐγνωκέναι, ὅ τι ἦν τὸ ὠφελῆσαν, [9] καὶ, ὅτε ἐβλάβησαν, τῷ βλαβῆναι, ὅ τι ἦν τι τὸ βλάψαν. Τὰ γὰρ [10] τῷ ὠφελῆσθαι καὶ τὰ τῷ βεβλάφθαι ὡρισμένα οὐ πᾶς ἱκανὸς γνῶναι· εἰ τοίνυν ἐπιστήσεται ἢ [11] ἐπαινέειν ἢ ψέγειν ὁ νοσήσας τῶν διαιτημάτων τι [12] οἷσιν ὑγιάσθη, πάντα ταῦτα τῆς ἰητρικῆς ὄντα εὑρήσει· καί ἐστιν οὐδὲν ἧσσον τὰ ἁμαρτηθέντα τῶν ὠφελησάντων μαρτύρια τῇ τέχνῃ [13] ἐς τὸ εἶναι· τὰ μὲν γὰρ ὠφελήσαντα τῷ ὀρθῶς προσενεχθῆναι ὠφέλησαν· τὰ δὲ βλάψαντα τῷ μηκέτι ὀρθῶς προσενεχθῆναι [14] ἔβλαψαν. Καί τοι ὅπου τό τε ὀρθὸν καὶ [15] τὸ μὴ ὀρθὸν ὅρον ἔχει ἑκάτερον, πῶς τοῦτο οὐκ ἂν τέχνη εἴη; τοῦτο γὰρ ἔγωγέ φημι ἀτεχνίην εἶναι, ὅπου μήτε ὀρθὸν [16] ἔνι μηδὲν, μήτε οὐκ ὀρθόν· ὅπου [17] δὲ τούτων ἔνεστιν ἑκάτερον, οὐκ ἔτι ἂν τοῦτο ἔργον ἀτεχνίης εἴη.

6. Ἔτι τοίνυν εἰ μὲν [18] ὑπὸ φαρμάκων τῶν τε καθαιρόντων καὶ

[1] Ὥστ' O, Ald., Frob., Zwing., Gorr., Lind., Mack. – ὅτι Heurn. in marg. — [2] εἴ τε (bis) J, Zwing. in marg. – ἐνῆ ἢ ὅ τι A. — [3] ἄλλως τε sine ἂν (E, ἂν al. manu) FGHIJO, Ald. – εἰ pro ἂν A. – ἐπιτύχειε E. – περιτύχοιεν Codd. reg. ap. Foes in not., Zwing. – ἑαυτοὺς E. – καὶ εἰ J. — [4] post γε addit τέως vulg. – τέως om. A. — [5] αὐτὴν, al. manu αὐτῆς A. — [6] ὑγιανθέντας EKL OQ'. – ἱδρῶντες pro ἢ δρ. τι ἢ μὴ δρ. A. – ὑγιάσθησαν AJ. — [7] δίψει KLO. — [8] τι A. – παροχῇ vulg. – ταραχῇ Codd. (E, al. manu παροχῇ in marg.), Ald. – παρασχῇ L. – ταραχῇ ἀποχῇ Zwing. in marg. – Il faut garder ταραχῇ; nos mss. sont unanimes. – ὑγιάσθ. A. – ὑγιάνθ. vulg. – ὠφελεῖσθαι vulg. – ὠφελέεσθαι Lind. — [9] καὶ εἴ τι τ' ἐβλ., καὶ τὸ βλαβῆναι καὶ ὅ τι ἦν τὸ βλάψαν (καὶ ὅ τι τὸ βλάψαν ἐν τῷ βλαβῆναι pro καὶ τὸ.... βλάψαν E, FI cum lectione vulg. in marg., HJKLOQ' P', Zwing. in marg. ἦν ante τὸ βλάψαν) vulg. – καὶ ὅτε ἐβλ., τῷ βλαβῆναι ὅ τι ἦν τι τὸ βλάψαν A. – Il faut prendre ou la leçon des mss. EF, etc., ou celle de A, qui m'a paru valoir mieux. — [10] τὸ (bis) H. – ὠφελῆσθαι A. – ὠφελεῖσθαι vulg. — [11] ἐπαινεῖν O. – τι om.

mais il se peut, ce me semble, que, même sans médecin, ils aient usé de la médecine. Ce n'est pas qu'ils aient su ce qu'elle aurait conseillé ou déconseillé; mais le hasard a fait qu'ils se sont traités comme les aurait traités un médecin, s'ils s'en étaient servis. Et certes, c'est là une grande preuve de l'existence de l'art, tellement existant et tellement fort que, manifestement, il sauve ceux même qui n'y croient pas. Car, de toute nécessité, les malades qui, sans se servir de médecin, ont guéri, savent qu'ils ont guéri en faisant ou ne faisant pas ceci ou cela. Abstinence d'aliments ou alimentation abondante, boissons copieuses ou soif, bains ou absence de bains, exercice ou repos, sommeil ou veille, ou enfin mélange de toutes ces choses, telles sont les conditions sous lesquelles ils se sont rétablis. Et, nécessairement aussi, ils ont reconnu par le soulagement ce qui était utile, et par le mal souffert, s'ils en ont souffert, ce qui était nuisible. A la vérité, tout le monde n'est pas capable de reconnaître les caractères de ce qui sert et de ce qui nuit. Mais le malade qui saura louer ou blâmer quelques points du régime sous lequel il a guéri, trouvera que tout cela est la médecine; et ce qui a nui ne témoigne pas moins que ce qui a servi, en faveur de l'existence de l'art. En effet, l'utile a été utile par la bonne application, et le nuisible a été nuisible par la mauvaise application. Or, quand le bien et le mal ont chacun une limite, comment ne pas voir là un art? Je maintiens que l'art est absent partout où rien n'est ni bien ni mal; mais je maintiens aussi, quand le bien et le mal sont en présence, que l'art ne peut plus être absent.

6. (*Développement de la réponse : la variété et la combinaison des moyens prouvent la réalité de l'art. Le hasard*

FGHIJKO. – τι ante τῶν Q'. — [12] οἷσιν ὑγιάσθη A. – ὑγιάνθη vulg. – οἵαισιν (οἵησιν O) vulg. – ἰατρικῆς E. – ὄντα εὑρ. καὶ om. A. — [13] ἐς A. – εἰς vulg. — [14] ἔβλαψεν al. manu A. – τε A. – τε om. vulg. — [15] τὸ om. Lind. — [16] ἔνι A. – εἴη vulg. — [17] τε pro δὲ A. – οὐκ ἔτι ἂν τοῦτο ἔργον ἀτεχνίης εἴη pro πῶς.... εἴη A. — [18] ἐπὶ J, Zwing. in marg., Lind, Mack. – ἀπὸ LQ'. – ἡ om. A. – τοῖσιν A. – ἰατρικῇ O. – τοῖς vulg. – ἐγίνετο A. – ἐγένετο vulg.

τῶν ἱστάντων ἡ ἴησις τῇ τε ἰητρικῇ καὶ τοῖσιν ἰητροῖσι μοῦνον ἐγίνετο, ἀσθενὴς [1]ἦν ἂν ὁ ἐμὸς λόγος· νῦν δὲ δὴ φαίνονται τῶν ἰητρῶν οἱ μάλιστα ἐπαινεόμενοι καὶ διαιτήμασιν ἰώμενοι καὶ ἄλλοισί [2]γε εἴδεσιν, ἃ οὐκ ἄν τις φαίη, μὴ ὅτι ἰητρὸς, ἀλλ' οὐδὲ ἰδιώτης ἀνεπιστήμων ἀκούσας, μὴ οὐ τῆς τέχνης εἶναι. [3]Ὅπου οὖν οὐδὲν οὔτε ἐν τοῖς ἀγαθοῖσι τῶν ἰητρῶν οὔτε ἐν τῇ ἰητρικῇ αὐτῇ ἀχρεῖόν ἐστιν, ἀλλ' ἐν [4]τοῖσι πλείστοισι τῶν τε φυομένων καὶ τῶν ποιευμένων ἔνεστι τὰ εἴδεα τῶν θεραπειῶν [5]καὶ τῶν φαρμάκων, οὐκ ἔστιν ἔτι οὐδενὶ τῶν ἄνευ ἰητροῦ ὑγιαζομένων τὸ αὐτόματον αἰτιήσασθαι ὀρθῷ λόγῳ· τὸ μὲν γὰρ αὐτόματον οὐδὲν φαίνεται ἐὸν ἐλεγχόμενον· πᾶν γὰρ τὸ γινόμενον διά τι [6]εὑρίσκοιτ' ἂν γινόμενον, καὶ ἐν τῷ διά [7]τι τὸ αὐτόματον οὐ φαίνεται οὐσίην ἔχον οὐδεμίην, ἀλλ' ἢ οὔνομα [8]μοῦνον· ἡ δὲ [9]ἰητρικὴ καὶ ἐν τοῖσι διά τι καὶ ἐν τοῖσι προνοουμένοισι φαίνεταί τε καὶ φανεῖται αἰεὶ οὐσίην ἔχουσα.

7. Τοῖσι μὲν οὖν τῇ τύχῃ τὴν [10]ὑγιείην προστιθεῖσι, [11]τῆς δὲ τέχνης ἀφαιρέουσι, τοιαῦτ' ἄν τις λέγοι· τοὺς δ' ἐν τῇσι τῶν ἀποθνησκόντων [12]ξυμφορῇσι τὴν τέχνην ἀφανίζοντας θαυμάζω, ὅτεῳ ἐπαιρεόμενοι ἀξιοχρέῳ λόγῳ τὴν μὲν τῶν ἀποθνησκόντων [13]ἀχρησίην οὐκ αἰτίην καθιστᾶσι, τὴν δὲ τῶν [14]τὴν ἰητρικὴν μελετησάντων ξύνεσιν αἰτίην· ὡς τοῖσι μὲν ἰητροῖσιν ἔνεστι [15]τὰ μὴ δέοντα ἐπιτάξαι, τοῖσι δὲ νοσέουσιν οὐκ [16]ἔνεστι τὰ προσταχθέντα παραβῆναι. [17]Καὶ μὴν πολύ γε εὐλογώτερον τοῖσι κάμνουσιν ἀδυνατέειν τὰ προστασσόμενα ὑπουργέειν, ἢ [18]τοῖσιν ἰητροῖσι τὰ μὴ δέοντα ἐπιτάσσειν· οἱ μὲν γὰρ ὑγιαινούσῃ [19]γνώμῃ μεθ' ὑγιαίνοντος σώματος ἐγχειρέουσι, λογισάμενοι τά τε παρεόντα, τῶν τε παροιχομένων τὰ ὁμοίως διατεθέντα τοῖσι παρεοῦσιν, ὥστε ποτὲ θεραπευθέντα εἰπεῖν, [20]ὅτι ἀπήλλαξαν· οἱ δὲ οὔτε ἃ κά-

[1] Ἦν om. A. – ἂν om. dans vulg. par une faute d'impression répétée dans Lind. et Kühn. – δὴ om. AEHJK. – μὲν pro δὲ δὴ I. – Ante τῶν addit μὲν J. — [2] τε vulg. – J'ai corrigé τε sans mss. — [3] ὅκου Zwing. in marg., Lind., Mack. – γοῦν J. – ἰατρῶν... ἰατρικῇ O. — [4] τοῖσι A. – τοῖς vulg. — [5] τε καὶ Lind. – ἔτι om. A. – αἰτιήσασθαι A. – αἰτιάσασθαι vulg. — [6] εὑρίσκοιτ' ἂν Codd., Zwing. in marg. – ἀνευρίσκοιτ' ἂν vulg. – ἂν εὑρίσκοιτ' ἂν Ald. — [7] τι. Τὸ δὲ αὐτ. vulg. – τι τὸ αὐτ. A. – La leçon de A donne le véritable sens. — [8] μ. om. A. — [9] ἰητρικὴ καὶ ἐν τοῖσι διά τι καὶ ἐν τοῖσι πρ. φ. A. – ἰητρικὴ καὶ ἐν τοῖς διά τι πρ. φ. vulg. – γε pro τε A. – αἰεὶ A. – ἔτι pro αἰεὶ vulg. — [10] τὴν δὲ ὑγ. A. — [11] τοῖς E. – τὴν δὲ τέχνην A. — [12] ξ. A. – σ. vulg. – ὅτεῳ A. – ὅτῳ vulg. — [13] ἀτυχίην ἀναιτίαν A. – ἀκρισίην EHJK. – καθίστησι

n'existe pas.) En outre, si la guérison ne réussissait à la médecine et au médecin que par l'action des remèdes évacuants et resserrants, mon argumentation serait faible; mais on voit les médecins les plus renommés guérir par le régime et par d'autres combinaisons dans lesquelles le caractère de l'art ne pourrait être contesté, je ne dis point par un médecin, mais par l'homme le plus ignorant de la médecine à qui on les expliquerait. Donc, s'il n'est rien qui soit sans usage pour les bons médecins et dans la médecine, et si la plupart des productions naturelles et artificielles fournissent les éléments des traitements et des remèdes, il n'est pas possible à aucune des personnes guéries sans médecin, d'imputer raisonnablement leur guérison au hasard. En effet, on démontre que le hasard n'existe pas; on trouvera que tout ce qui se fait, se fait par un pourquoi; or, devant un pourquoi, le hasard perd visiblement toute réalité, et ce n'est plus qu'un mot. Mais, visiblement aussi, la médecine possède et possèdera toujours une réalité et dans le pourquoi et dans la prévision qui lui appartient.

7. (*Objection : les terminaisons funestes. — Réponse : elles sont plutôt imputables à l'indocilité des malades qu'à l'inhabileté des médecins. — Description remarquable du médecin et du malade par rapport l'un à l'autre.*) Voilà ce qu'on pourrait répondre à ceux qui enlèvent à l'art les guérisons pour les attribuer à la fortune. Quant à ceux qui en nient l'existence en raison des terminaisons funestes, je ne conçois pas de quel argument plausible ils s'autorisent pour en accuser, non l'indocilité des défunts, mais le savoir de ceux qui pratiquent la médecine; comme si, le médecin pouvant faire de mauvaises prescriptions, le malade ne pouvait pas transgresser ce qui lui est commandé! Et, de fait, il est beaucoup plus vraisemblable que le malade sera incapable d'obéir aux prescriptions, qu'il

GI, Ald. — [14] τὴν A. – τὴν om. vulg. – ξύ. A. – σ. vulg. – ἰητροῖς A. — [15] τὰ μὴ repetitur A. — [16] ἔνεστι A. – ἔστι vulg. — [17] καὶ μὴν καὶ Zwing. in marg. — [18] τοῖς AE. — [19] τῇ γν. A. – διατεθέντα A. – διατιθέντα vulg. — [20] ὡς pro ὅτι A. – δ' A. – οὔτε δι' ἃ κ. om., et εἰδότες A addit quod non abest infra.

μνουσιν, οὔτε δι' ἃ κάμνουσιν, [1]οὐθ' ὅ τι ἐκ τῶν παρεόντων ἔσται, [2]οὐθ' ὅ τι ἐκ τῶν τουτέοισιν ὁμοίων γίνεται, εἰδότες, ἐπιτάσσονται, ἀλγέοντες μὲν ἐν τῷ παρεόντι, φοβεύμενοι δὲ τὸ μέλλον, καὶ [3]πλήρεες μὲν τῆς νούσου, κενεοὶ δὲ σιτίων, ἐθέλοντες [4]τὰ πρὸς τὴν νοῦσον ἡδέα μᾶλλον, ἢ τὰ πρὸς [5]τὴν ὑγιείην προσδέχεσθαι, οὐκ ἀποθανεῖν ἐρῶντες, ἀλλὰ καρτερεῖν ἀδυνατέοντες. Οὕτω δὲ διακειμένους, πότερον εἰκὸς τούτους τὰ ὑπὸ τῶν ἰητρῶν ἐπιτασσόμενα [6][μὴ] ποιέειν, ἢ ἄλλα ποιέειν, [7]ἃ οὐκ ἐπετάχθησαν, [8]ἢ τοὺς ἰητροὺς [9]τοὺς ἐκείνως διακειμένους, ὡς ὁ πρόσθεν λόγος ἡρμήνευσεν, ἐπιτάσσειν τὰ μὴ δέοντα; ἆρ' οὐ πολὺ μᾶλλον, τοὺς μὲν δεόντως ἐπιτάσσειν, τοὺς δὲ εἰκότως [10]ἀδυνατέειν πείθεσθαι, μὴ πειθομένους δὲ περιπίπτειν τοῖσι θανάτοισιν, ὧν οἱ μὴ ὀρθῶς λογιζόμενοι τὰς αἰτίας τοῖς οὐδὲν αἰτίοις ἀνατιθέασι, τοὺς αἰτίους ἐλευθεροῦντες;

8. Εἰσὶ δέ τινες οἳ [11]καὶ διὰ τοὺς μὴ ἐθέλοντας ἐγχειρέειν τοῖσι κεκρατημένοισιν ὑπὸ τῶν [12]νουσημάτων μέμφονται τὴν ἰητρικὴν, λέγοντες ὡς ταῦτα μὲν καὶ αὐτὰ ὑφ' ἑαυτῶν ἂν ἐξυγιάζοιτο, ἃ ἐγχειρέουσιν ἰῆσθαι, [13]ἃ δ' ἐπικουρίης δεῖται, οὐχ ἅπτονται, δεῖν δὲ, εἴπερ ἦν ἡ τέχνη, πάνθ' ὁμοίως ἰῆσθαι. Οἱ μὲν οὖν ταῦτα λέγοντες, εἰ ἐμέμφοντο τοῖς ἰητροῖς, ὅτι [14]αὐτέων τοιαῦτα λεγόντων οὐκ ἐπιμελοῦνται ὡς παραφρονεύντων, εἰκότως ἂν ἐμέμφοντο μᾶλλον ἢ ἐκεῖνα μεμφόμενοι· εἰ γάρ τις [15]ἢ τέχνην, ἐς ἃ μὴ τέχνη, ἢ φύσιν, ἐς ἃ μὴ φύσις πέφυκεν, ἀξιώσειε δύνασθαι, ἀγνοεῖ [16]ἄγνοιαν ἁρμόζουσαν μανίῃ μᾶλ-

[1] Οὐδ' A. — [2] οὐδ' A. – ὅ τι οὖν vulg. – οὖν om. A (deletum in O). – τουτέοισιν A, Lind. – τούτοισιν vulg. – γίνονται A. – ἐν A. – ἐν om. vulg. – φοβούμενοι O. — [3] πλήρεες A. – πλήρεις vulg. – νούσου AO. – νόσου vulg. – κενεοὶ A. – κενοὶ vulg. – σίτων KO. — [4] δὲ τὰ A. – ἤδη pro ἡδέα A. — [5] τὴν A. – τὴν om. vulg. – ὑγείην AEIO. – ὑγίην G. – ἀδυνατεῦντες A. – οὕτως A. — [6] J'ai ajouté μὴ, que j'ai mis entre crochets; cette négation m'a paru nécessaire, l'alternative portant non pas sur la question de savoir si le malade suivra ou violera les prescriptions, mais sur celle de savoir si le malade violera les prescriptions, ou si le médecin en fera de mauvaises. — [7] ἢ ἃ ἐπετ. A. — [8] ἢ om. A. — [9] τοὺς om. G, Ald. — [10] ἀδυνατεῖν A. – ἀνατίθησι A. — [11] καὶ om. O. – διὰ om. dans vulg. par une faute répétée dans Kühn. – θέλοντας ἐγχειρεῖν κεκρατημένοις A. — [12] νουσ. E. – νοσ. vulg. – ἰατρικὴν O. – ἀφ' GJKLOQ'. – ἐφ' E. – ἑαυτῶν A. – αὐτῶν vulg. – ὑγιάζοιτο O. – ἰῆσθαι (bis) A. – ἰᾶσθαι (bis) vulg. — [13] ἂν pro ἃ A. – ἐπικουρέης G. – Post ἐπ. addit μεγάλης A. — [14] αὐτῶν A. – ἐπιμέλονται A. – κεῖνα A. — [15] ἢ A. – ἢ om. vulg. – φύσις A. – φύσις om. vulg. — [16] μανίην ἁρμ. ἀγνοίῃ (ἀγνοίᾳ A; ἀνοίῃ L) vulg. – ἄγνοιαν ἁρμ. μανίῃ Zwing. in marg., Lind. – Je crois

ne l'est que le médecin fera de mauvaises prescriptions. En effet, le médecin se met à l'œuvre sain d'esprit et sain de corps, raisonnant sur le cas présent, et, parmi les cas passés, sur ceux qui ressemblent au cas présent, de manière à pouvoir citer des guérisons dues au traitement. Mais le malade, qui ne connaît ni sa maladie, ni les causes de sa maladie, ni ce qui adviendra de l'état actuel, ni ce qui arrive dans des cas semblables aux siens, reçoit les ordonnances, souffrant dans le présent, effrayé pour l'avenir, plein de son mal, vide d'aliments, souhaitant plutôt ce que la maladie lui rend agréable, que ce qui convient à la guérison, ne voulant sans doute pas mourir, mais incapable de fermeté et de patience. Laquelle des deux alternatives est la plus vraisemblable, soit d'admettre que le malade, ainsi disposé, n'exécutera pas ou exécutera mal les ordonnances du médecin; soit d'admettre que le médecin, se trouvant dans les conditions décrites plus haut, fera de mauvaises prescriptions? N'est-il pas bien plus naturel que l'un prescrive convenablement, mais que l'autre n'ait sans doute pas le courage d'obéir, et, n'obéissant pas, succombe? Terminaison funeste, dont ceux qui raisonnent mal ôtent la responsabilité au vrai coupable pour la rejeter sur qui n'en peut mais.

8. (*Objection : les médecins refusent de se charger des maladies désespérées; l'art, s'il était réel, devrait tout guérir. — Réponse : en toute chose il y a des bornes que l'art ne peut dépasser.*) D'autres, en raison des médecins qui refusent de se charger des maladies désespérées, attaquent la médecine, et disent que les cas qu'elle entreprend de traiter guériraient d'eux-mêmes, mais qu'elle déserte justement ceux où il est besoin de secours, et que, s'il y avait un art, il faudrait guérir tout également. Ceux qui tiennent de tels discours, s'ils blâmaient les médecins de ne pas les soigner, eux qui parlent ainsi, comme gens en délire, leur adresseraient un re-

que la correction de Zwing. est bonne, que c'est ici la construction κινδυνεύειν κίνδυνον, et que le sens est : « Il est affecté d'une ignorance qui touche plus à la folie qu'au défaut d'instruction. »

λον ἢ [1]ἀμαθίῃ. Ὧν γάρ ἐστιν ἡμῖν τοῖσί τε τῶν φυσίων τοῖσι τε τῶν τεχνέων ὀργάνοις ἐπικρατέειν, τουτέων ἐστὶν ἡμῖν δημιουργοῖς εἶναι, ἄλλων δὲ οὐκ ἔστιν. Ὅταν οὖν τι [2]πάθῃ ἄνθρωπος κακὸν ὃ κρέσσον ἐστὶ τῶν ἐν ἰητρικῇ ὀργάνων, οὐδὲ προσδοκᾶσθαι τοῦτό που δεῖ ὑπὸ ἰητρικῆς κρατηθῆναι ἄν· αὐτίκα γὰρ τῶν ἐν [3]ἰητρικῇ καιόντων τὸ πῦρ ἐσχάτως καίει, τουτέου δὲ ἧσσον καὶ ἄλλα πολλά· τῶν μὲν οὖν ἡσσόνων τὰ κρέσσω οὔπω [4]δηλονότι ἀνίητα· τῶν δὲ κρατίστων τὰ κρέσσω πῶς οὐ [5]δηλονότι ἀνίητα; ἃ γὰρ πῦρ [6]οὐ δημιουργέει, πῶς οὐ τὰ [7]τούτῳ μὴ ἁλισκόμενα δηλονότι ἄλλης δεῖται τέχνης, καὶ οὐ ταύτης, [8]ἧς ἔνι τὸ πῦρ ὄργανον; ὡϋτὸς δέ μοι λόγος καὶ ὑπὲρ [9]τῶν ἄλλων, ὅσα τῇ ἰητρικῇ ξυνεργέει, ὧν ἁπάντων φημὶ δεῖν ἑκάστου [10]μὴ κατατυχόντα τὸν ἰητρὸν τὴν δύναμιν αἰτιᾶσθαι τοῦ πάθεος, μὴ τὴν τέχνην. [11]Οἱ μὲν οὖν μεμφόμενοι τοῖσι κεκρατημένοισι μὴ ἐγχειρέοντας [12]παρακελεύονται καὶ ὧν μὴ προσήκει [13]ἅπτεσθαι οὐδὲν ἧσσον ἢ ὧν προσήκει· παρακελευόμενοι δὲ ταῦτα, ὑπὸ μὲν τῶν οὐνόματι ἰητρῶν θαυμάζονται, ὑπὸ δὲ τῶν καὶ τέχνῃ καταγελῶνται. Οὐ μὴν οὕτως [14]ἀφρόνων οἱ ταύτης τῆς δημιουργίης ἔμπειροι οὔτε μωμητῶν οὔτ' ἐπαινετῶν δέονται· ἀλλὰ λελογισμένων πρὸς ὅ τι [15]αἱ ἐργασίαι τῶν δημιουργῶν τελευτώμεναι πλήρεις εἰσὶ, καὶ [16]ὅτευ ὑπολειπόμεναι ἐνδεεῖς, ἔτι [17]τε τῶν ἐνδειῶν, ἅς τε τοῖς δημιουργοῦσιν ἀναθετέον, ἅς τε [18]τοῖσι δημιουργεομένοισιν.

[1] Ἀμαθίην L. – φύσιων AE, Lind. – φύσεων O, Mack. – τουτέων A. – τούτων vulg. – εἶναι om. A. — [2] πάθοι EGJO, Ald., Frob. – ὤνθρωπος A. – οὗ pro ὃ A. – ἐν τῇ vulg. – τῇ om. Codd. – τουτό που A. – τ. π. om. vulg. — [3] ἰατρ. O. – τὸ A. – τὸ om. vulg. – τουτέου A. – τούτου vulg. – ὡς pro καὶ A. — [4] δηλονότι O. – δῆλον ὅτι vulg. – κ' ἀνίητα vulg. – κ' om. A. — [5] δῆλον ὅτι ἐστὶν ἀν. A. – πῶς οὐκ ἀνίητα δηλονότι J. — [6] οὐ om. A. – δημιουργέει AEGLO, Ald., Zwing., Lind. – δημιουργέῃ vulg. — [7] τούτων A. – δηλοῖ ὅτι vulg. – La correction en δηλονότι me paraît sûre. Il faut donner à ἁλισκόμενα le sens de ἀναλισκόμενα. Voy. p. 6, note 5. — [8] ἐν ᾗ pro ἧς ἔνι A. – ἐν ᾗ pro ἔνι J. — [9] ὑπ. τῆς τῶν EHIJKO. – ἰατρικῇ O. – ξυνεργέει Zwing. in marg., Lind. – ξυνεργεῖ vulg. — [10] μὴ om. EGHIKO, Ald. – ἰατρὸν O. – πάθους, ἀλλὰ μὴ τὴν O. — [11] εἰ pro οἱ Foes 1595, faute d'impression répétée dans Kühn. – τοῖσι (τοῖσι om. EHK) τοῖς κεκ. μὴ ἐγχειρέουσι vulg. – τοὺς τοῖς κ. μὴ ἐγχειρέοντας A. — [12] παρακελεύουσι E. – ᾧ pro ὧν Kühn. – προσήκε A. — [13] ἅπτ...... προσήκει om. A. – τῶν τῷ vulg. – τῷ om. A. – οὐνόματι Ald. – ὀν. vulg. — [14] ἄφρονες A, Ald. – δημιουργίης A, Lind., Mack. – δημιουργίας vulg. – ἐπαινετῶν A. – αἰνετῶν vulg. – λελογισμένος A. — [15] ἂν αἱ vulg. – ἂν om. AEFHIKO. — [16] ὅτι J, Zwing. in marg. – ὑπολιπ. A. – ὑποληπ. Ald. –

proche plus vraisemblable que celui qu'ils leur adressent. En effet, demander à l'art ce qui n'est pas de l'art, ou à la nature ce qui n'est pas de la nature, c'est être ignorant, et l'être d'une ignorance qui tient plus de la folie que du défaut d'instruction. Dans les choses où il nous est donné d'avoir le dessus à l'aide des instruments fournis et par la nature et par les arts, nous pouvons opérer ; mais, dans les autres, nous ne le pouvons pas. Lors donc qu'un homme éprouve un mal plus fort que les instruments de la médecine, il ne faut pas sans doute espérer qu'elle en triomphe. Soit par exemple le feu : des caustiques médicaux, c'est celui qui brûle au plus haut degré ; beaucoup d'autres caustiques brûlent à un degré moindre. Les affections rebelles aux caustiques moins puissants, évidemment ne sont pas encore incurables ; mais les affections rebelles au caustique le plus puissant, ne sont-elles pas incurables manifestement ? Là, en effet, où le feu échoue, comment ne pas voir que ce qu'il ne consume pas réclame indubitablement l'emploi d'un art autre que celui dont le feu est l'instrument ? J'en dirai autant des autres agents dont se sert la médecine : pour tous, je maintiens que le médecin à qui l'un quelconque fait défaut est en droit d'accuser non son art, mais la violence de la maladie ; donc, ceux qui le blâment de ne pas toucher au malade vaincu par le mal, lui conseillent de consacrer ses soins autant au cas qui ne les comporte pas, qu'à celui qui les comporte. Mais pour un tel conseil, s'ils sont admirés par les médecins de nom, ils sont moqués par les médecins de fait. Les gens habiles dans l'art médical ne tiennent compte ni de censeurs ni de prôneurs aussi insensés, mais ils tiennent compte de ceux qui savent en quels cas les opérations du praticien, atteignant le but, sont complètes, ou, ne l'atteignant pas, sont défectueuses, et, parmi ces imperfections, quelles sont imputables à l'opérateur et quelles à l'opéré.

ἐνδείης A. — [17] τε om. A. - δὲ pro τε Kühn. - ἐνδεῶν AO. — [18] τοῖς δημιουργεομένοισι A. - δημιουργουμένοισι vulg.

9. Τὰ μὲν οὖν κατὰ τὰς ἄλλας τέχνας ἄλλος χρόνος μετ' ἄλλου λόγου δείξει· τὰ δὲ κατὰ τὴν ἰητρικὴν, οἷά τέ ἐστιν, ὥς τε κριτέα, τὰ μὲν ὁ [1]παροιχόμενος, τὰ δὲ ὁ παρεὼν διδάξει λόγος. Ἔστι γὰρ τοῖσι ταύτην τὴν τέχνην ἱκανῶς εἰδόσι τὰ μὲν τῶν νοσημάτων οὐκ ἐν δυσόπτῳ κείμενα καὶ οὐ πολλὰ, τὰ [2]δ' οὐκ ἐν εὐδήλῳ καὶ πολλά ἐστι· [3]τὰ μὲν γὰρ πρὸς τὰ ἐντὸς τετραμμένα ἐν δυσόπτῳ, [4]τὰ δ' ἐξανθεῦντα ἐς τὴν χροιὴν ἢ χροιῇ ἢ οἰδήμασιν ἐν εὐδήλῳ· παρέχει γὰρ [5]ἑωυτῶν τῇ τε ὄψει τῷ τε ψαῦσαι τῆς στερεότητος καὶ τῆς ὑγρότητος αἰσθάνεσθαι, καὶ ἅ τε αὐτῶν θερμὰ, [6]ἅ τε ψυχρὰ, ὧν τε ἑκάστου [7]ἢ παρουσίῃ ἢ ἀπουσίῃ [8]τοιαῦτά ἐστιν. Τῶν μὲν δὴ τοιούτων πάντων ἐν ἅπασι τὰς ἀκέσιας ἀναμαρτήτους δεῖ εἶναι, οὐχ ὡς ῥηϊδίας, ἀλλ' ὅτι ἐξεύρηνται· ἐξεύρηνταί γε μὴν οὐ τοῖσι βουληθεῖσιν, ἀλλὰ [9]τουτέων τοῖσι δυνηθεῖσι· δύνανται δὲ, οἷσι τά τε τῆς παιδείης μὴ ἐκποδὼν, τά τε τῆς φύσιος μὴ [10]ταλαίπωρα.

10. Πρὸς μὲν οὖν τὰ φανερὰ τῶν νοσημάτων οὕτω δεῖ εὐπορέειν τὴν τέχνην· δεῖ γε μὴν αὐτὴν [11]μηδὲ πρὸς τὰ ἧσσον φανερὰ ἀπορέειν· ἔστι δὲ ταῦτα, ἃ πρός τε τὰ ὀστέα τέτραπται καὶ τὴν νηδύν· ἔχει δὲ τὸ σῶμα οὐ μίαν, ἀλλὰ πλείους· δύο μὲν γὰρ αἱ [12]τὸν σῖτον δεχόμεναί τε καὶ ἀφιεῖσαι, ἄλλαι δὲ τουτέων πλείους, ἃς ἴσασιν, οἷσι [13]τουτέων ἐμέλησεν· ὅσα γὰρ τῶν μελέων ἔχει σάρκα περιφερέα, ἣν μῦν καλέουσι, πάντα νηδὺν ἔχει. Πᾶν γὰρ τὸ [14]ἀσύμφυτον, ἤν τε δέρματι, ἤν τε σαρκὶ καλύπτηται, κοῖλόν ἐστιν· πληροῦταί τε ὑγιαῖνον μὲν πνεύματος, ἀσθενῆσαν δὲ ἰχῶρος· ἔχουσι μὲν τοίνυν οἱ βραχίονες σάρκα

[1] Παροιχόμενος A. – παρῳχημένος vulg. – παρεὼν A, Lind. – παρὼν vulg. — [2] δὲ A. — [3] τὰ.... δυσόπτῳ om. Codd., Ald. — [4] ἔστιν δὲ τὰ μὲν ἐξ. A. – ἐς τὴν χροιὴν ἢ χροιῇ ἢ οἰδήμασιν A. – εἰς (ἐς O, Lind.) τὴν χροιὴν ἢ οἰδαίνοντα (οἰδήμασιν EFGHIJKO, Ald.) vulg. — [5] ἑωυτὴν τήν τε ὄψιν τό τε ψαῦσαι τὴν στερεότητα καὶ τὴν ὑγρότητα A. – ξηρότητος L. – στερότητος E. — [6] καὶ ἃ ψυχρὰ J. — [7] ἡ A. — [8] τοιαῦτα G, Ald. – τοιαῦτ' EO. – τοιαύτη vulg. – δὴ om. EGHIKO, Ald. – οὖν pro δὴ AJ. – πᾶσι A. – ἀκέσιας Codd., Ald., Frob., Zwinger, Mack. – ἀκεσίας vulg. — [9] τουτέων A. – τούτων vulg. – ἐκποδὼν om. J. — [10] ἀταλαίπωρα pro ταλ. A. – ἐμποδὼν pro ταλ. J. – δὲ pro μὲν οὖν J. – τὴν Codd., Ald., Lind., Mack. – τὴν om. vulg. — [11] οὐδὲ A. – ἥσσονα EFGH, Ald. – τε om. A. — [12] τὸ HJK. – τὸ σιτίον A. – δεχόμεναι αἵ τε καὶ A. – πλείους.... τουτέων om. A. – Une autre main a changé ἐμέλησεν en ἐν μέλεσιν — [13] τούτων Lind. – ὁκόσα Erot. p. 260. – περιφερῆ Erot. ib. – περιφορέα E. — [14] ξύμφυτον Erot. ib.

9. (*Difficultés de la médecine. Division des maladies en externes et internes. Maladies externes.*) Ces conditions, en ce qui regarde les autres arts, seront indiquées dans un autre temps et dans un autre discours. Quant aux choses médicales, ce qu'elles sont, et comment il faut en juger, cela est démontré partie dans ce qui précède et partie dans ce qui suit. Les maladies, pour ceux qui sont suffisamment versés dans la connaissance de la médecine, se divisent en maladies dont le siége n'est pas caché (celles-là sont peu nombreuses), et en maladies dont le siége est apparent (celles-là sont nombreuses). En effet, les affections tournées vers les parties internes sont cachées; celles qui font efflorescence à la surface et se manifestent, soit par la couleur, soit par la tuméfaction, sont apparentes, et l'on peut, par la vue et le toucher, juger de la dureté et de l'humidité, distinguer celles qui sont chaudes ou froides, et reconnaître quelle est la condition dont la présence ou l'absence les rend telles qu'elles sont. Dans tous les cas de ce genre, le traitement ne doit commettre aucune faute, non qu'il soit facile, mais parce qu'il est trouvé; or, il est trouvé, non pour ceux qui ont vouloir, mais pour ceux qui ont pouvoir; et n'ont pouvoir que ceux dont l'éducation n'a pas éprouvé d'obstacle, et pour qui la nature n'a pas été avare (La Loi, 2).

10. (*Maladies internes. Elles siégent dans les cavités; or, les cavités sont nombreuses. Partout où, soit sous la peau, soit dans les chairs, il y a simple contiguité, on doit admettre un vide.*) Voilà quelle doit être la puissance de l'art dans les maladies apparentes; mais pourtant il ne doit pas demeurer dans l'impuissance pour les maladies qui le sont moins. Ces maladies moins apparentes sont celles qui se portent vers les os ou une cavité; et le corps n'a pas une seule cavité, il en a plusieurs. Ainsi il en est deux qui reçoivent et expulsent les matières alimentaires; il en est beaucoup d'autres que connaissent ceux qui s'occupent de ces objets. En effet, tous les membres pourvus d'une chair arrondie qu'on nomme muscle,

τοιαύτην· ἔχουσι δ' οἱ μηροί· ἔχουσι δ' αἱ κνῆμαι. Ἔτι δὲ καὶ ἐν [1]τοῖσιν ἀσάρκοισι τοιαύτη ἔνεστιν, οἵη καὶ ἐν τοῖσιν εὐσάρκοισιν εἶναι δέδεικται· ὅ τε γὰρ θώρηξ καλεόμενος, ἐν ᾧ τὸ ἧπαρ στεγάζεται, ὅ τε τῆς κεφαλῆς κύκλος, ἐν ᾧ ὁ ἐγκέφαλος, τό τε νῶτον, πρὸς [2]ὃ ὁ πλεύμων, τούτων οὐδὲν ὅ τι οὐ καὶ αὐτὸ κενόν ἐστι, [3]πολλῶν διαφυσίων μεστὸν, [4]ᾗσιν οὐδὲν ἀπέχει πολλῶν ἀγγεῖα εἶναι τῶν μέν τι βλαπτόντων τὸν κεκτημένον, τῶν δὲ καὶ ὠφελεύντων. Ἔτι δὲ [5]καὶ πρὸς τουτέοισι φλέβες πολλαὶ, καὶ νεῦρα οὐκ ἐν τῇ σαρκὶ μετέωρα, ἀλλὰ πρὸς τοῖς ὀστέοισι προστεταμένα, σύνδεσμος ἔς τι των ἄρθρων, καὶ αὐτὰ τὰ ἄρθρα, ἐν οἷσιν αἱ [6]ξυμβολαὶ τῶν κινεομένων ὀστέων ἐγκυκλέονται, καὶ τούτων οὐδὲν, ὅ τι οὐχ ὑπόφορόν ἐστι καὶ ἔχον περὶ [7]αὐτὸ θαλάμας, ἃς καταγγέλλει ἰχὼρ, ὃς ἐκ διοιγομένων αὐτέων πολύς τε καὶ πολλὰ λυπήσας ἐξέρχεται.

11. Οὐ γὰρ δὴ ὀφθαλμοῖσί [8]γε ἰδόντι τούτων τῶν εἰρημένων οὐδενὶ οὐδέν ἐστιν εἰδέναι· διὸ καὶ ἄδηλα ἐμοί τε ὠνόμασται καὶ τῇ τέχνῃ κέκριται εἶναι, οὐ μὴν ὅτι ἄδηλα, κεκράτηκεν, ἀλλ' [9]ᾗ δυνατὸν, κεκράτηται· δυνατὸν δὲ, [10]ὅσον αἵ τε τῶν νοσεόντων φύσιες ἐς τὸ σκεφθῆναι παρέχουσιν, αἵ τε τῶν ἐρευνησόντων ἐς τὴν ἔρευναν πε-

[1] Τοῖσιν A, Lind. – τοῖς vulg. – Ante εἶναι addit ἐν A; addit τοιαύτη J. – Thorax est ici employé dans un sens plus étendu que d'ordinaire. — [2] ᾧ LO. – πλ. A. – πν. vulg. – οὐδὲν ὅ τι τούτων καὶ ἐν ᾧ ἐστὶν πολλῶ διαφύσεων μεστόν ἐστιν A. – ἔτι pro ὅ τι Zwing. in marg. – ἔτι οὗ pro ὅ τι οὐ E FGHJKO, Ald. — [3] καὶ π. L. – διαφυσίων O. – διαφύσιων vulg. – Post μ. addunt ἐστὶν Codd., Ald. — [4] ᾗσιν Zwing. in marg., Lind. – οἷσιν vulg. – πολλῶν AL, Zwing. in marg., Lind. – πολλὸν vulg. – μέν τι AJ. – μέντοι vulg. – ὠφελεύντων A. – ὠφελούντων vulg. — [5] δὲ καὶ π. τουτέοισι φλ. A. – δὲ π. τούτοισι καὶ φ. vulg. – προστεταγμένα JKL, Zwing. in marg. – ἐστὶ vulg. – Je lis ἔς τι pour avoir une phrase construite parallèlement à celle qui précède. Plus haut on a : la poitrine, la tête, le dos, de tout cela rien qui ne soit, etc. Ici on doit avoir : les veines, les nerfs, les articulations, rien de tout cela qui ne soit, etc. — [6] ξ. A. – σ. vulg. – ἐκκυκλέονται A. – ὑπόφορον Zwing. in marg. – ὑπόρροον L. – Erot. p. 374 : ὕποφρον, κρυφαῖον, ὥς φησιν ὁ Ταραντῖνος. Καὶ ὁ Ἱπποκράτης δὲ σαφὲς ποιεῖ, λέγων· οὐθὲν ὅττι καὶ ὕποφρον, καὶ ἔχον περὶ αὐτὸ θαλάμας. – Schneider croit qu'il faut lire dans Erot. ὑπόφορον, *qui est percé de conduits*. Cette leçon me paraît très-bonne, et je l'adopte, bien que nos mss. aient uniformément ὕπαφρον, qui se comprend aussi, et qui est sans doute une leçon collatérale de celle que nous a conservée Erotien. Je pense que c'est ici qu'il faut rapporter la glose de Galien : ὑπομβρον, ὕφυγρον, ὑπόπυον. — [7] αὐτὸ Lind. – αὐτῷ A. – ὁ ἰχ. A. – ἰχῶρος pro ἰ. ὃς HJKO. – ἐκδιοιγομένων Lind.,

ont une cavité. Partout où il n'y a pas continuité, soit sous la peau, soit sous la chair, est un vide rempli d'air en santé, d'humeur en maladie. Les bras ont une chair semblable, les cuisses et les jambes en ont aussi; et même dans les parties non charnues existent des cavités analogues à celles qu'on démontre dans les parties charnues. Voyez ce qu'on nomme thorax (*voy.* note 1), où le foie est logé, le globe de la tête, où est l'encéphale, le dos, où tient le poumon : il n'est aucune de ces parties qui n'ait aussi un vide et n'offre de nombreux interstices, auxquels il ne manque rien pour être des vaisseaux portant diverses matières, les unes nuisibles, les autres utiles au sujet. Voyez encore les veines nombreuses, les nerfs qui sont, non pas superficiels dans la chair, mais appliqués contre les os, et servant jusqu'à un certain point de ligaments aux articulations, voyez les articulations elles-mêmes où roulent les jointures des os mobiles : il n'est aucune de ces parties qui ne soit percée de pertuis, et où des cavités n'existent; cavités révélées par l'humeur qui, lorsqu'elles sont ouvertes, s'en écoule avec grande abondance et grande malfaisance.

11. (*Difficultés que présentent les maladies internes. Du temps se passe avant que le diagnostic ne soit établi; ce retard est imputable non à l'art, mais à la force des choses.*) Rien absolument de ce qui vient d'être énuméré ci-dessus ne peut être vu par les yeux; aussi là les maladies sont occultes; telles je les nomme, et telles l'art les estime. Cependant, tout occultes qu'elles sont, elles n'ont pas été victorieuses; loin de là, elles ont été vaincues autant que la chose est possible; or, la possibilité dépend et des facilités qu'offre la constitution du malade pour l'examen, et du talent qu'a l'observateur pour l'observation. Dans ces cas, pour connaître, il faut bien plus

Mack. – διηγουμένων EHIJKO, Zwing. in marg. – διηθουμένων EG. – πολλὺς A. – πολλοὺς vulg. – πολλὰ A. – λυπῆσαν IJO. — [8] γ' A. – ἰδόντων J. – Post διὸ addunt δὴ EHKOQ', Zwing. in marg., Lind. — [9] ἤ AJ. – εἰ vulg. — [10] ὅσ' αἵ τε A. – ὅσαι τε EFGHIJKO. – ἐστὶν ἔρευναν παρέχουσαι J. – ἐστὶ pro ἐς τὴν O.

φύκασιν. Μετὰ πλείονος μὲν γὰρ πόνου καὶ οὐ μετ' ἐλάσσονος [1] χρόνου, ἢ εἰ τοῖσιν ὀφθαλμοῖσιν ἑώρατο, γινώσκεται· ὅσα γὰρ τὴν τῶν [2] ὀμμάτων ὄψιν ἐκφεύγει, ταῦτα τῇ τῆς γνώμης ὄψει κεκράτηται· καὶ ὅσα δὲ ἐν τῷ μὴ ταχὺ ὀφθῆναι οἱ νοσέοντες πάσχουσιν, οὐχ οἱ θεραπεύοντες [3] αὐτοὺς αἴτιοι, ἀλλ' ἡ φύσις ἥ τε τοῦ νοσέοντος, ἥ τε τοῦ νοσήματος· ὁ μὲν γὰρ, ἐπεὶ οὐκ ἦν [4] αὐτέῳ ὄψει ἰδεῖν τὸ μοχθέον, οὐδ' ἀκοῇ πυθέσθαι, λογισμῷ μετήει. Καὶ γὰρ δὴ καὶ [5] ἃ πειρῶνται οἱ τὰ ἀφανέα νοσέοντες ἀπαγγέλλειν περὶ τῶν νοσημάτων τοῖσι θεραπεύουσιν, δοξάζοντες μᾶλλον ἢ εἰδότες ἀπαγγέλλουσιν· εἰ γὰρ ἠπίσταντο, οὐκ ἂν περιέπιπτον αὐτοῖσιν· τῆς γὰρ αὐτῆς ξυνέσιός ἐστιν, [6] ἧσπερ τὸ εἰδέναι τῶν νούσων τὰ αἴτια, καὶ τὸ θεραπεύειν αὐτὰς ἐπίστασθαι πάσῃσι τῇσι θεραπείῃσιν, αἳ [7] κωλύουσι τὰ νουσήματα μεγαλύνεσθαι. Ὅτε [8] οὖν οὐδὲ ἐκ τῶν ἀπαγγελλομένων [9] ἐστὶ τὴν ἀναμάρτητον σαφηνίην ἀκοῦσαι, [10] προσοπτέον τι καὶ ἄλλο τῷ θεραπεύοντι· ταύτης οὖν τῆς βραδυτῆτος οὐχ ἡ τέχνη, ἀλλ' ἡ φύσις αἰτίη [11] ἡ τῶν σωμάτων· [12] ἡ μὲν γὰρ αἰσθανομένη ἀξιοῖ θεραπεύειν [13] σκοποῦσα ὅπως μὴ τόλμῃ μᾶλλον ἢ γνώμῃ, καὶ ῥᾳστώνῃ μᾶλλον ἢ βίῃ [14] θεραπεύῃ· ἣ δ' ἢν μὲν ἀρκέσῃ πρὸς τὸ ὀφθῆναι, ἐξαρκέσει καὶ πρὸς τὸ ἰαθῆναι· ἣν δ' ἐν ᾧ τοῦτο ὁρᾶται, κρατηθῇ διὰ τὸ βραδέως [15] αὐτὸν ἐπὶ τὸν θεραπεύσοντα ἐλθεῖν, ἢ διὰ τὸ τοῦ νοσήματος τάχος, οἰχήσεται. Ἐξ ἴσου μὲν γὰρ ὁρμώμενον τῇ θεραπείῃ οὐκ ἔστι θᾶσσον, προλαβὸν δὲ θᾶσσον, προλαμβάνει δὲ διά τε τὴν τῶν σωμάτων στεγνότητα, ἐν ᾗ οὐκ ἐν εὐόπτῳ οἰκέουσιν αἱ νοῦσοι, διά τε τὴν τῶν

[1] Χρόνου τοῖσιν ὀφθαλμοῖσιν ὁρᾶταί τε καὶ γινώσκεται vulg. – χρόνου ἢ εἰ τοῖς ὀφθαλμοῖς συνεωρᾶτο, γινώσκεται A. – χρόνου εἰ (ἐν JL; εἶναι EHKO; εἶναι καὶ ἐν Zwing. in marg.) τ. ὀφ. ἑωρᾶτο (ἑωρᾶται EHK; ὁρᾶταί τε καὶ J.) γινώσκεται EFGHIJKLO, Ald. – Il faut prendre la leçon de A, sauf à mettre ἑώρατο, συν venant de la finale σιν de ὀφθαλμοῖσιν. — [2] ὀνομάτων Ald. – καὶ Codd. – καὶ om. vulg. – δ' A. — [3] αὐτοὺς om. E. – νοσοῦντος O. — [4] αὐτέω A. – αὐτῷ vulg. — [5] εἰ pro ἃ Ald. – ἀποπειρῶνται J. – ἀπαγγέλειν A. – ἀπαγγέλουσιν A. – αὐτοῖσι A. – αὐτοῖς vulg. — [6] ὑπὲρ pro ἧσπερ A. — [7] κωλύουσαι τὰ νοσ. AJ. — [8] γοῦν J. – οὐδ' A. – ἀπ. A, Zwing. in marg., Lind. – ἐπ. vulg. — [9] ἐπὶ pro ἐστὶ GHIKO, Ald. – σαφηνείην O. – σαφήνειαν AL. — [10] προσαπτέον τις sine καὶ ἄ. τῷ θ. – βραδύτητος Lind., Mack. — [11] ἡ om. A. — [12] ὃ δ' pro ἡ μ. γ. L. – αἰσθομένη A. — [13] καὶ σκ. A. – τόλμημα Ald. — [14] θεραπεύει, al. manu η A. – θεραπεύειν FGHJKO. – ὅδ' vulg. – ἡ δ' alia manu A. – διεξαρκέσει ἐς τὸ ὀ., ἐξαρκέσει καὶ ἐς τὸ ὑγιανθῆναι A. — [15] αὐτὴν alia manu A. – θεραπεύσαντα GO, Ald. – νοσημάτων pro σώμ. K. – στεγνότητα EJKLO, Zwing. in marg. – στενότητα vulg.

24. Λειεντερίη· τὰ σιτία διαχωρέει ἄσηπτα, ὑγρά· ὀδύνη δὲ [2]οὐκ ἔνι· λεπτύνεται δὲ τὸ σῶμα· τοῦτον θεραπεύειν τοῖσιν αὐτοῖσιν, [3]οἷσι τοὺς ὑπὸ δυσεντερίης ἐχομένους. Ἡ δὲ νοῦσος γίνεται, ὅταν ἐκ τῆς κεφαλῆς καὶ τῆς ἄνω κοιλίης κατάῤῥοος γένηται τοῦ φλέγματος ἐς τὴν κάτω κοιλίην· ὅταν δὲ [4]τοῦτο ᾖ, τὰ σιτία ὑπ' αὐτοῦ ψύχεται, καὶ ὑγραίνεται, καὶ ἡ ἄφοδος αὐτῶν [5]ἀσήπτων ταχείη γίνεται, καὶ τὸ σῶμα τήκεται, ἅμα μὲν οὐ πεσσομένων τῶν σιτίων ἐν τῇ κοιλίῃ χρόνον ἱκανὸν, ἅμα δὲ ὑπὸ τῆς κοιλίης θερμῆς ἐούσης παρὰ φύσιν θερμαινομένων.

25. Διάῤῥοια δὲ [6]ἡ μακρὴ ὅταν ἔχῃ, διαχωρέει πρῶτον μὲν τὰ ἐσιόντα ὑγρὰ, ἔπειτα φλέγμα· καὶ ἐσθίει μὲν ἐπιεικῶς, ὑπὸ δὲ τῆς [7]πολλῆς διαχωρήσιος ἀσθενὴς καὶ λεπτὸς γίνεται. [8]Τοῦτον ἄνω ἀποξηραίνειν ἐλλέβορον πιπίσκων καὶ τὴν κεφαλὴν καθαίρων φλέγμα, [9]διανίψαι δὲ καὶ τὴν κοιλίην γάλακτι ἑφθῷ, ἔπειτα τἄλλα σιτίοισι καὶ ποτοῖσι θεραπεύειν, ὑφ' ὧν ξηρανεῖται ἥ [10]τε κοιλίη καὶ τὸ σῶμα πᾶν· ἡ δὲ νοῦσος ἀπὸ τῶν αὐτῶν γίνεται, [11]ἀφ' ὧν καὶ ἡ λειεντερίη. Αὗται αἱ νοῦσοι, [12]ἥ τε δυσεντερίη καὶ ἡ λειεντερίη [13]καὶ διάῤῥοια, παραπλήσιαί εἰσι, καὶ δεῖ αὐτὰς οὕτως ἰῆσθαι· τὸν μὲν κατάῤῥοον ἀπολαμβάνειν τὸν ἀπὸ τῆς κεφαλῆς καὶ τῆς ἄνω κοιλίης, ἢ ἀποτρέπειν· τοῦ γὰρ νουσήματος ἡ φύσις ἐντεῦθεν γίνεται, καὶ [14]οὐδεὶς οὐδέν σου μέμψεται τὴν διάνοιαν· σχεδὸν δὲ καὶ τἄλλα νουσήματα ὧδε δεῖ σκοπεῖν, [15]ὁκόθεν ἑκάστῳ ἡ φύσις γίνεται· καὶ [16]οὕτω σκοπῶν καὶ λαμβάνων τὴν ἀρχὴν τῶν νουσημάτων ἥκιστ' ἂν ἁμαρτάνοις.

[1]Εἱλκωμένης KJθ. – ζωῆς om. (H, restit. al. manu) θ. – [καὶ] ὑγρὰ Lind. — [2]οὐ κινέει Gal. in cit. in Comm. Aph. VI, 1, L. – λεπτύνονται EHθ. – καὶ τὸ vulg. – καὶ om. Hθ, Gal. ib. – τούτους al. manu H. – οἷον pro τοῦτον Q'. – ἐν τοῖσιν vulg. – ἐν om. EHθ, Mack. – τοῖσιν om. θ. — [3]οἷσι (οἷσι om. JKθ) τοὺς ὑ. δ. ἐχομένους EHKJQ', Lind. – οἷον ὑ. δ. ἐχομένους Mack. – τοῖς ὑ. δ. ἐχομένοις vulg. — [4]τούτοις al. manu H. – ᾖ θ. – ᾖ om. vulg. – ὑπ' αὐτοῦ τὰ σιτία θ. — [5]ἄσηπτος al. manu H. – ταχείη om., al. manu ἐν ταχείῃ H. – ἐν τάχει θ. – καὶ ἅμα θ. – θερμαινόμενον vulg. – J'ai fait cette correction sans mss. — [6]ἡ om. θ. – διαχωρέῃ θ. – πρῶτα GIK. – ἐσιόντα EHθ. – εἰσ. vulg. – ἔπ. δὲ φλέγμα θ, Lind. — [7]π. om. (H, restit. al. manu) θ. — [8]τούτου τὰ (τὸ θ) ἄνω EHθ. — [9]καὶ τὴν κ. διαν. EHθ, Mack. – ἔπ. τά τε ἄλλα σ. καὶ πότοισι θ. — [10]τε θ, Mack. – τε om. vulg. — [11]ὑφ' EHP'. – αὗται αἱ ν. om. θ. — [12]ἥ τε λειεντ. καὶ ἡ δυσ. E. – καὶ ἡ δυσεντερίη sine καὶ ἡ λει. θ. — [13]καὶ δ. om. (H,

commence le traitement, le corps ayant encore de la force, il y a chance de guérison ; mais, si le corps est déjà fondu et le ventre complétement ulcéré, le cas est sans espérance.

24. (*Lienterie.*) Lienterie : les aliments passent sans être digérés, les selles sont liquides ; il n'y a pas de douleur, mais le corps s'amaigrit. On traite ce cas par les mêmes moyens que la dysenterie. La maladie se produit quand de la tête et du ventre supérieur (*poitrine*) il se fait un flux de phlegme dans le ventre inférieur ; à ce point, les aliments sont refroidis et humectés par ce phlegme, ils passent rapidement sans être digérés ; et le corps se fond, d'un côté parce que les aliments ne sont pas cuits un temps suffisant dans le ventre, d'un autre, parce qu'ils sont échauffés contre nature par le ventre échauffé lui-même.

25. (*Diarrhée.*) Dans la diarrhée de longue durée, les aliments passent d'abord sous forme de selles liquides, puis du phlegme est rendu ; le malade mange, il est vrai, passablement, mais il s'affaiblit et se fond par l'abondance des évacuations. Dans ce cas, on séchera les parties supérieures en administrant une potion d'ellébore et en purgeant la tête du phlegme (*par des errhins*) ; on nettoiera aussi le ventre avec du lait cuit ; puis le traitement sera du reste en aliments et en boissons qui dessécheront et le ventre et le corps entier. Cette maladie est produite par les mêmes causes que la lienterie. Ces affections, la dysenterie, la lienterie et la diarrhée, sont analogues, et il faut les traiter de manière à intercepter ou à détourner le flux venant de la tête ou du ventre supérieur (*poitrine*) ; en effet la nature de la maladie est là, et personne ne vous blâmera de voir ainsi la chose. En général, pour toutes les maladies, il faut examiner où en est la nature ; c'est avec un tel examen et en saisissant le commencement des maladies que vous commettrez le moins de fautes.

restit. al. manu) θ. – παραπλήσιοι E (H, al. manu) θ. – ἰᾶσθαι Eθ. – μὲν om. (H, restit. al. manu) θ. – ἐντεῦθε θ. — [14] οὐδεὶς om. (H, restit. al. manu) θ. – μέμφαιτο H. — [15] ὁπ. EHθ. — [16] οὕτως θ. – ἥκιστα EIJK. – ἥκιστ' om. G.

26. [1]Τεινεσμὸς ὅταν λάβῃ, διαχωρέει αἷμα μέλαν καὶ μύξα, καὶ πόνος ἐν τῇ κάτω κοιλίῃ γίνεται, καὶ μάλιστα ὅταν [2]ἐς ἄφοδον ἵζῃ· τούτου ξυμφέρει τὴν κοιλίην διυγραίνειν καὶ λιπαίνειν καὶ ἀλεαίνειν, καὶ ὑπάγειν τὰ ἐνεόντα, καὶ λούειν θερμῷ, πλὴν τῆς κεφαλῆς. Φιλέει δὲ ἡ νοῦσος αὕτη τὰ σιτία πλείω [3]τελέειν· οἱ γὰρ στρόφοι κενουμένης τῆς κοιλίης ὑπὸ τοῦ αἵματος διεξιόντος καὶ τῆς μύξης καὶ προσπιπτόντων πρὸς τὸ ἔντερον γίνονται· [4]ἐνόντων δὲ τῶν σιτίων, ἧσσον δῆξιν παρέχει τῷ ἐντέρῳ. Καὶ γίνεται μὲν ἀπὸ τῶν αὐτῶν, ὧν καὶ ἡ δυσεντερίη, ἀσθενεστέρη δὲ καὶ ὀλιγοχρονίη, καὶ οὐ θανατώδης.

27. Ὅταν δὲ ἐξ οἴνου ἢ [5]εὐωχίης χολέρη λάβῃ ἢ διάῤῥοια, τῇ μὲν διαῤῥοίῃ ξυμφέρει διανηστεύειν, καὶ ἢν δίψος ἔχῃ, [6]οἶνον διδόναι γλυκὺν, ἢ στέμφυλα γλυκέα, ἐς ἑσπέρην δὲ διδόναι ταῦτα, ἃ καὶ τοῖσιν ὑπὸ φαρμάκου κεκαθαρμένοισιν· ἢν δὲ μὴ [7]παύηται, ἐθέλῃς δὲ παῦσαι, ἔμετον ἀπὸ σιτίου ἢ [8]φακίου ποιῆσαι· καὶ παραχρῆμα ἀνέσπασται ἄνω ἢ κάτω ἄφοδος· καὶ ἢν διακλύσῃς χυλῷ [9]φακῶν ἢ ἐρεβίνθων, καὶ οὕτω πεπαύσεται. Τῇ δὲ χολέρῃ ξυμφέρει, ἢν μὲν ὀδύνη ἔχῃ, διδόναι ἃ γέγραπται ἐν τοῖσι φαρμάκοισι παύοντα τὴν ὀδύνην, τὴν [10]δὲ κοιλίην θεραπεύειν τήν [11]τε ἄνω καὶ τὴν κάτω, διυγραίνοντα πόμασι, καὶ μαλάσσοντα τὸ σῶμα λουτροῖσι θερμοῖσι, πλὴν τῆς κεφαλῆς· καὶ ὅ τε ἔμετος οὕτως εὐπετέστερος γίνεται, [12]ἢν ἐσίῃ τι ὑγρὸν, [13]καὶ τὰ προσεστηκότα ἄνω ἀπεμέεται, καὶ ἡ κάτω ὑποχώρησις μᾶλλον διαχωρέει· ἢν δὲ [14]κενὸς ᾖ, ἐμέεται βιαίως, καὶ ὑποχωρέει βιαιότερον· ἐς ἑσπέρην δὲ διδόναι καὶ τούτῳ, ὅσαπερ [15]τῷ φαρμακοπο-

[1] Τηv. θ. – μέλαν (H, al. manu) θ, Mack. – μέλ. om. vulg. – μύξαν FGH. – ἐνγίνεται θ. — [2] ἐς E. – εἰς vulg. – ἵζῃ EFGHIJKθ. – ἵξῃ vulg. – ἕξῃ Ald. – τούτου EHIJKθ. – τοῦτον vulg. – κοιλίην E, Mack. – κοιλίαν vulg. – ἀλεαίνειν EHKθ, Ald., Mack. – λεαίνειν vulg. — [3] ποιέειν θ. – θέλειν K′. – προπιπτόντων FG, Ald. — [4] ἐνεόντων Lind., Mack. – ἧσσον θ, Mack. – ἧττον vulg. – δῆξι θ. – παρέχειν FGJ. — [5] ὑπ' (ὑπὸ HK) εὐ. vulg. – ὑπ' om. θ. – τὴν μὲν διάρροιαν GIJ. – διαρροίῃ Kθ, Mack. – διαῤῥοίᾳ vulg. — [6] διδ. οἶνον γλ. καὶ στ. θ. – ἐς om. FG. – τοῖς ὑ. φ. κεκαθαρμένοις θ. — [7] παύσηται EHP′. – ἐθέλεις IJK. – θέλεις EH. – σίτου E. – σίτων HK. — [8] φακείου E. – φαρμακίου al. manu H. – ἀνέσπασται θ. – ἀνασπᾶται vulg. – ἡ, al. manu ἢ H. – ἢ Kθ. — [9] φαρμακῶν (sic) J. – οὕτω θ. – οὕτως vulg. – πεπαύσεται (E, cum που al. manu) FIJKP′. – που παύσεται vulg. – παύονται θ. – τῆς ὀδύνης (H, al. manu τὴν ὀδύνην) θ. — [10] τε θ. — [11] τε om. θ. – ὑγραίνοντα πώμασι θ. – εὐπρεπέστερος (E, al. manu εὐπετέστερος) LQ′, Lind., Mack. — [12] καὶ ἢν vulg. – καὶ om. θ. — [13] καὶ EFGIJQ′θ. – καὶ om. vulg. – ἀπεμεῖται· καὶ ἣν κάτω ὑποχωρήσεις θ. — [14] κενώσῃ vulg.

26. (*Ténesme.*) Dans le ténesme, du sang noir et des mucosités sont rendus par le bas, de la douleur est ressentie dans le ventre inférieur, surtout quand on va à la selle. En ce cas, il importe d'humecter, de graisser et d'échauffer le ventre, d'évacuer les matières, et de laver le corps avec de l'eau chaude, la tête exceptée. Il est ordinaire que cette maladie consomme un excès d'aliments; en effet, les tranchées sont produites lorsque, le ventre étant vidé, le sang qui passe et les mucosités tombent sur l'intestin; mais l'intestin en est moins irrité, quand il y a des aliments. Cette affection a les mêmes causes que la dysenterie, mais elle est moins grave, de courte durée et non mortelle.

27. (*Choléra et diarrhée.*) Dans le choléra ou la diarrhée, suites d'excès de vin ou de table, pour la diarrhée, on fera jeûner le malade; s'il a soif, il boira du vin doux ou de la piquette douce; le soir, il prendra ce qu'on prescrit aux personnes purgées par un évacuant; si la diarrhée ne s'arrête pas, et que vous vouliez cependant y mettre fin, vous procurerez le vomissement après avoir avoir fait prendre des aliments ou de l'eau de lentille; aussitôt l'évacuation par le bas éprouve une révulsion vers le haut. C'est encore un moyen d'y mettre fin que de nettoyer avec une décoction de lentille ou d'ers. Pour le choléra, s'il y a douleur, il convient de donner ce qui est écrit dans les Remèdes comme calmant la douleur, et de soigner le ventre, tant celui d'en bas que celui d'en haut (*abdomen et poitrine*), humectant avec des boissons, assouplissant avec des bains chauds le corps, excepté la tête. De la sorte, quelque liquide étant introduit, le vomissement est plus facile, les matières adhérentes sont expulsées par le haut, et les évacuations alvines vont mieux; mais, si le malade est vide, il évacue par le haut et par le bas avec plus d'effort. Le soir, à lui aussi on donnera ce qui est prescrit pour les personnes

-κενώσηις Foes in not. ex Cornario, Mack. -κενόση θ. -Lisez κενὸς ᾖ. —
[15] τῷ om. (H, restit. al. manu) θ. -φαρμακοποτῇ θ.

τέοντι. Γίνεται [1] δὲ ταῦτα τὰ ἀλγήματα, ὅσα ἐκ ποσίων γίνεται ἢ ἐξ εὐωχίης, [2] ὅταν τὰ σιτία καὶ τὰ ποτὰ πλέω τοῦ εἰωθότος ἐς τὴν κοιλίην ἐσέλθῃ, καὶ τὰ ἔξωθεν εἰωθότα ὑπερθερμαίνειν τὸ σῶμα κινέῃ χολὴν καὶ φλέγμα.

28. Στραγγουρίης τρόποι μὲν πολλοὶ [3] καὶ παντοῖοι· ξυμφέρει δὲ ἔξωθεν [4] μὲν τὸ σῶμα μαλάσσειν λουτροῖσι θερμοῖσιν, ἔσωθεν δὲ διυγραίνειν τὴν μὲν κοιλίην σιτίοισιν ὑφ' ὧν εὔροος ἔσται, τὴν δὲ κύστιν ποτοῖσιν ὑφ' ὧν τὸ οὖρον ὡς πλεῖστον [5] διαχεῖται· διδόναι δὲ καὶ τῶν διουρητικῶν φαρμάκων, ἃ γέγραπται ἐν τῇ φαρμακίτιδι παύοντα τῆς ὀδύνης. Ἡ δὲ νοῦσος ὑπὸ [6] τοῦ φλέγματος γίνεται· καὶ ὅταν μὲν ἡ κύστις ξηρανθῇ, [7] ἢ ψυχθῇ, ἢ κενωθῇ, ὀδύνην παρέχει· ὅταν δὲ [8] ὑγρή τε καὶ πλήρης ᾖ καὶ κεχυμένη, ἧσσον· ἡ δὲ νοῦσος τοῖσι μὲν παλαιοτέροισι μακροτέρη γίνεται, [9] τοῖσι δὲ νεωτέροισι βραχυτέρη, θανατώδης δὲ οὐδετέροισιν.

29. Ἰσχιὰς [10] δὲ ὅταν γένηται, ὀδύνη λαμβάνει ἐς τὴν πρόσφυσιν τοῦ ἰσχίου καὶ [11] ἐς ἄκρον τὸ πυγαῖον καὶ [12] ἐς τὸν γλουτόν· τέλος δὲ καὶ διὰ παντὸς τοῦ σκέλεος πλανᾶται ἡ ὀδύνη. Τούτῳ [13] ξυμφέρει, ὅταν ἡ ὀδύνη ἔχῃ, μαλάσσειν καθ' ὁκοῖον ἂν τυγχάνῃ τοῦ σκέλεος στηρίζουσα ἡ ὀδύνη, ἐν λουτροῖσι καὶ χλιάσμασι καὶ πυρίῃσι, καὶ τὴν κοιλίην ὑπάγειν· ὅταν δὲ λωφήσῃ ἡ ὀδύνη, φάρμακον δοῦναι κάτω· καὶ μετὰ ταῦτα πιεῖν [14] γάλα ὄνου ἑφθόν· διδόναι δὲ τῆς ὀδύνης ἃ γέγραπται [15] παρὰ τοῖσι φαρμάκοισιν. Ἡ δὲ νοῦσος γίνεται, ἐπειδὰν χολὴ καὶ φλέγμα ἐς τὴν αἱμόῤῥοον φλέβα καταστηρίξῃ, ἢ ἐξ ἑτέρης νούσου, [16] ἢ ἄλλως, ὁκόσον ἂν τοῦ αἵματος ὑπὸ φλέγματος καὶ [17] χολῆς νοσήσῃ ξυνεστηκός· τοῦτο γὰρ πλανᾶται ἀνὰ τὸ σκέλος διὰ τῆς

[1] Δὲ καὶ vulg. – καὶ om. EFGIJKθ. – πόσιων Lind. — [2] καὶ ὅταν EQ'. – πλέω H. – πλείω θ. – πλέον vulg. – ἐσέλθῃ EHK. – εἰσ. vulg. – ὑπερθερμαίνοντα θ. – κινέῃ FGIJ. – κεινέῃ θ. – κινέει vulg. — [3] καὶ om. θ. – δ' EKθ. — [4] μὲν om. J. – εὔρωος al. manu H. – κῦστιν Ald., Frob. – τὸ οὖρον om., restit. al. manu H. – εὔροον pro οὖρον K. — [5] δίεισι E (H, al. manu διαχεῖται) P'Q'θ. – διαχεῖται n'est pas sans doute au futur, malgré la correspondance avec ἔσται. Buttmann, Griech. Spr. § 95, Anm. 19, note, dit seulement : « On connaît de la langue alexandrine la forme biblique ἐκχεῶ, Act. 2, 17. – διαπαύοντα θ. — [6] τοῦ om. K. – φλέματος (sic) H. — [7] ἢ κεν. ἢ ψυ. E. – δ' EHK. — [8] ὑγρή τέ ἐστι (ἐστι om. HKθ) καὶ πλ. ᾖ (ἢ EHKθ, Ald.) καὶ (καὶ om. EGK) κεχ. (ἐκκεχυμένη pro καὶ κεχ. F) vulg. – παλαιτέροισι FG. — [9] τοῖς θ. – οὐδετέροις θ. — [10] δὲ om. I. – εἰς I. — [11] ἐς om. GI. — [12] ἐς om. E, Mack. — [13] ξ. EH. – σ. vulg. – τοῦτον θεραπεύειν pro τούτῳ.... ἐν θ. – ὁποῖον EHK,

purgées par un évacuant (*voy.* § 41). De ces maladies, celles qui proviennent d'excès de vin ou de table naissent quand les aliments et les boissons sont pris en plus grande quantité que d'habitude, et que les choses du dehors, dont l'effet est d'échauffer le corps en excès, émeuvent la bile et le phlegme.

28. (*Strangurie.*) La strangurie a des formes nombreuses et variées ; il convient d'assouplir le corps en dehors par des bains chauds, et en dedans d'humecter le ventre par des aliments qui le rendront coulant, et la vessie par des boissons qui procureront la plus grande quantité d'urine. On donnera aussi parmi les médicaments diurétiques ceux qui sont écrits dans la Pharmacie comme calmant la douleur. Cette maladie provient du phlegme ; quand la vessie est sèche ou froide ou vide, elle cause de la douleur ; quand elle est humide, pleine et développée, elle en cause moins. La strangurie, plus longue chez les hommes d'un certain âge, plus courte chez les jeunes, n'est mortelle ni chez les uns ni chez les autres.

29. (*Mal de la hanche.*) Dans le mal de la hanche (*sciatique et coxalgie*) la douleur occupe la jointure de l'ischion, l'extrémité du siége (*coccyx*) et la fesse ; finalement elle se promène dans tout le membre inférieur. Il convient, tant qu'il y a douleur, d'employer les émollients sur le point, quel qu'il soit, du membre inférieur où la souffrance s'est fixée, bains, fomentations, applications chaudes, et de relâcher le ventre ; quand la douleur s'est adoucie, on donne un purgatif, puis on fait boire du lait d'ânesse cuit. On donne en outre les médicaments qui sont écrits pour la douleur dans les Remèdes. Cette maladie vient quand la bile et le phlegme se sont fixés dans la veine sanguine, soit à la suite d'une autre maladie, soit autrement, suivant que telle ou telle quantité de sang a été viciée et coagulée par le phlegme et la bile, car ce sang se promène le long

Ald. - ἐν om. EHKP', Mack. - πυρίῃ θ. — [14] ὄνου γάλα θ. — [15] ἐν θ, Mack. - τοῖς φαρμάκοις θ. — [16] ἢ καὶ θ. - ὁπόσον HKθ. — [17] καὶ τῆς χ. EKQ'θ, Lind., Mack. - νοσήσῃ EHKθ. - νουσήσῃ vulg. - συνεστηκὸς θ. - ξυνεστηκότος EHQ'. Lind. - ὅπου EHθ, Ald.

φλεβὸς τῆς αἱμοῤῥόου καὶ ὅκου ἂν στῇ, [1]ἡ ὀδύνη κατὰ τοῦτο ἔνδηλος μάλιστα γίνεται, ἡ δὲ νοῦσος μακρὴ γίνεται καὶ ἐπίπονος, θανατώδης δὲ οὔ· [2]ἢν δὲ ἐς ἕν τι χωρίον καταστηρίζῃ ἡ ὀδύνη καὶ στῇ, καὶ τοῖσι φαρμάκοισι μὴ ἐξελαύνηται, [3]καῦσαι καθ' ὁκοῖον ἂν τόπον τυγχάνῃ ἐοῦσα ἡ ὀδύνη, καίειν δὲ τῷ ὠμολίνῳ.

30. [4]Ἀρθρῖτις νοῦσος ὅταν ἔχῃ, [5]λαμβάνει πῦρ, καὶ ὀδύνη τὰ ἄρθρα τοῦ σώματος λαμβάνει ὀξείη, καὶ ἐς ἄλλο τε καὶ ἄλλο τῶν ἄρθρων ὀξύτεραί τε καὶ μαλακώτεραι καταστηρίζουσιν αἱ ὀδύναι. Τούτῳ ξυμφέρει προσφέρειν, [6]ᾗ ἂν ἡ ὀδύνη ἔχῃ, ψύγματα, καὶ ἐκ τῆς κοιλίης ὑπάγειν τὰ ἐνεόντα [7]κλύσμασιν ἢ βαλάνῳ, καὶ ῥοφᾶν διδόναι καὶ πιεῖν ὅ τι ἂν δοκέῃ σοι [8]ξυνοῖσον· ὅταν δὲ ἡ ὀδύνη ἀνῇ, φάρμακον κάτω πίσαι, καὶ μετὰ τοῦτο πίνειν ὀῤῥὸν ἑφθὸν [9]ἢ ὄνου γάλα. Ἡ δὲ νοῦσος γίνεται ὑπὸ χολῆς καὶ φλέγματος, ὅταν κινηθέντα ἐς τὰ ἄρθρα καταστηρίξῃ· [10]καὶ ὀλιγοχρονίη μὲν γίνεται καὶ ὀξείη, θανατώδης δὲ οὔ· νεωτέροισι [11]δὲ εἴωθε μᾶλλον ἢ γεραιτέροισι γίνεσθαι.

31. Ποδάγρη [12]δὲ βιαιότατον μὲν τῶν τοιούτων ἁπάντων ὁκόσα περὶ τὰ ἄρθρα, καὶ πολυχρονιώτατον, καὶ δυσαπαλλακτότατον· καὶ ἔστι μὲν ἡ νοῦσος αὕτη, τοῦ αἵματος ἐφθαρμένου τοῦ ἐν [13]τοῖσι φλεβίοισιν ὑπὸ χολῆς καὶ φλέγματος· ὅσῳ [14]δὲ ἐν λεπτοτάτοισί τε φλεβίοισι καὶ ἐν ἀνάγκῃ πεφυκόσι πλείστῃ τοῦ σώματος καὶ ἐν νεύροισι [15]καὶ ὀστέοισι πολλοῖσί τε καὶ πυκνοῖσι, τοσούτῳ [16]παραμονιμώτατόν τέ ἐστι τὸ νούσημα καὶ δυσαπαλλακτότατον. Ξυμφέρει δὲ καὶ ταύτῃ τὰ αὐτὰ, ἃ καὶ τῇ ἀρθρίτιδι· καὶ μακρὴ μὲν καὶ αὕτη ἡ νοῦσος καὶ

[1] Κατὰ τοῦτο καὶ (καὶ om., restit. al. manu H) ἡ ὀδύνη ἔνδ. γίν. μάλιστα (μάλ. γίν. E) καὶ ἐπίπονος vulg. – ἡ ὀδύνη κατὰ τοῦτο ἔνδ. μάλ. γίνεται, ἡ δὲ νοῦσος μακρὴ γίνεται καὶ ἐπίπονος θ. — [2] ἢν HKθ. – εἰ vulg. – δ' EHK. – ἕν τινι J. — [3] κλυσαι (sic) θ. – ὁποῖον EHθ, Ald. – τόπον EKQ', Lind., Mack. – τόπον om. vulg. – οὖσα θ. — [4] ἀρθρίτις Ald. — [5] λαμβάνει π. (πυρετὸς al. manu H) καὶ (καὶ om. I) ὀδ. τὰ ἄρ. τοῦ σώματος· λαμβάνει δὲ καὶ (καὶ om. HKθ) ὀξείη (ὀξηι sic θ) vulg. – J'ai corrigé sans mss. – ἄλλοτε ἄλλο EHK, Ald. – ἄλλοτε καὶ ἄλλοτε FIJ. – αἱ (αἱ F) τῶν ἄλλων pro τῶν ἄρθρων FGIJ. – στηρίζουσιν J. — [6] ὅταν ἡ ὀδύνη ἔχῃ θ. – ἡ om. J. – ἔχῃ JK. – ἔχει vulg. — [7] κλυσμοῖσιν HK. – κλυσμῷ θ. – ῥυφεῖν θ. – ῥυφᾶν EGHIJK, Ald. – ἐπιδιδόναι EK Q', Lind. – ὅ τι ἢν δοκῇ θ. — [8] σ. EK. – συνῆσον IJ. – ξ. om. (H, al. manu συνοῖσον) θ. – ἀνῇ (E, al. manu ἐνῇ) Q'θ, Lind., Mack. – ἐνῇ vulg. – τοῦτο Codd., Ald., Frob., Lind. – τοῦτον vulg. – πιεῖν ὄρον θ. — [9] ἢ KQ'θ, Lind., Mack. – καὶ vulg. – ἐς E, Lind. – εἰς vulg. — [10] καὶ om. IJ. — [11] δ' EHK. – ἢ γέρουσι γίγνεσθαι θ. – γίνεσθαι ἢ παλαιοτέροισι EIK. – παλαιτέροισι FGJ. – ἢ

du membre inférieur par la veine sanguine, et, là où il s'arrête, la douleur se fait surtout sentir. La maladie est longue et douloureuse, mais non mortelle. Si la douleur se fixe en un point particulier et y demeure sans que les médicaments puissent l'expulser, on cautérisera le lieu douloureux quel qu'il soit; la cautérisation sera faite avec un moxa de lin écru.

30. (*Arthrite.*) Dans l'arthrite, la fièvre survient, une douleur aiguë s'empare des articulations du corps, et ces douleurs, tantôt plus aiguës, tantôt plus douces, vont se fixer tantôt sur une articulation, tantôt sur une autre. Il convient d'appliquer sur la partie douloureuse des rafraîchissants, de débarrasser le ventre des matières par des lavements ou un suppositoire, et de donner en potages et en boissons ce qui vous paraîtra utile. Quand la douleur s'est relâchée, on donne un purgatif, puis on fait boire du petit lait cuit ou du lait d'ânesse. Cette maladie provient de la bile et du phlegme, qui, mis en mouvement, se sont fixés sur les articulations; elle est de courte durée et aiguë, mais non mortelle; elle attaque les jeunes plus volontiers que les vieux.

31. (*Podagre.*) La podagre est la plus violente de toutes les maladies articulaires, la plus longue et la plus tenace; elle se produit quand le sang qui est dans les veinules a été vicié par la bile et le phlegme; et, comme là sont les veines du corps les plus ténues et les plus étroitement serrées, ainsi que des nerfs et des os nombreux et rapprochés, là aussi le mal a le plus de persistance et de ténacité. Les mêmes moyens qu'à l'arthrite conviennent ici; la maladie est longue et douloureuse, mais

γερ. om. H (al. manus restituit ἢ παλαιοτέροισι post γίνεσθαι). — [12] δὲ θ, Mack. – δὲ om. vulg. – βιαιότατον EHQ'θ, Lind., Mack. – βιαιότερον vulg. – ὁπόσα HK. – ὅσαπερ θ. – δυσαπαλλακτώτατον EJ. — [13] τοῖς θ. – ὅσον E. — [14] δ' EHθ. – λεπτοτάτοις τε φλεβίοις θ. – λεπτοτάτοισιν ἢ φλεβίοισιν vulg. – Post φλ. addunt τοσούτω EF (H, al. manu) IJKP'Q'; addit ὑπὸ χολῆς καὶ φλέγματος ὅσω δὲ ἐν λεπτοτάτοισιν ἢ φλεβίοισιν τοσούτω G. – πεφύκασι EGIJ KQ'. – ἐνεύροισι, al. manu ἐν ν. H. — [15] τε καὶ EH. – ὀστέοις θ. – πούλλοῖσι FG, Ald., Frob. — [16] Ante π. addit δὲ vulg. (δὴ Lind., Mack). – δὲ om. EHθ. – παραμονιχώτατον J. – τέ om. FGIJ. – δ' οὔ HK.

ἐπίπονος, θανατώδης δὲ οὔ. Ἢν [1] δὲ τοῖσι δακτύλοισι τοῖσι μεγάλοισιν ἡ ὀδύνη ἐγκαταλείπηται, καῦσαι τὰς φλέβας τοῦ δακτύλου ὑπὲρ τοῦ κονδύλου ὀλίγον, καίειν δὲ ὠμολίνῳ.

32. [2] Ἴκτερον δὲ ὧδε χρὴ θεραπεύειν· ἔξωθεν μὲν τὸ σῶμα μαλθάσσειν λουτροῖσι θερμοῖσι, τὴν δὲ κοιλίην διυγραίνειν καὶ τὴν κύστιν, καὶ τῶν διουρητικῶν διδόναι, ἃ [3] προγέγραπται· ἢν δὲ ἰσχυρὸς ᾖ, καθήρας τὴν κεφαλὴν, φάρμακον πίσαι κάτω, ὅ τι χολὴν καθαίρει, ἔπειτα [4] δὲ τοῖσι διουρητικοῖσι χρῆσθαι· ἡ δὲ νοῦσος γίνεται, ὅταν χολὴ κινηθεῖσα ὑπὸ τὸ δέρμα τράπηται.

33. Ταῦτα [5] δὲ ἐπιστάμενος ἀνὴρ ἰδιώτης οὐκ ἂν ὁμοίως ἐμπίπτοι ἐς ἀνήκεστα νουσήματα· [6] καὶ γὰρ νουσήματα εἴωθεν ἀπὸ [7] σμικρῶν προφασίων μεγάλα καὶ πολυχρόνια γίνεσθαι. Καὶ ὅσα μὲν σιτίων ἢ ποτῶν ἐχόμενά ἐστιν ἢ ῥοφημάτων ἢ φαρμάκων, [8] ὅσα ὀδύνης εἵνεκα δίδοται, ἀκίνδυνά ἐστιν ἅπαντα προσφέρειν ἀεὶ, ἐὰν κατὰ τὰ γεγραμμένα προσφέρῃς· ὅσα δὲ καθαίρει τῶν φαρμάκων χολὴν ἢ φλέγμα, ἐν τούτοισιν οἱ κίνδυνοι γίνονται καὶ αἱ αἰτίαι τοῖσι θεραπεύουσι· [9] φυλάσσεσθαι οὖν χρὴ ταῦτα μάλιστα. [10] Ταῦτα μὲν ὅσα κατὰ κοιλίην γίνεται νουσήματα πλὴν περὶ ἐμπύων καὶ φθινόντων καὶ τῶν γυναικείων, ταῦτα [11] δὲ χωρὶς γεγράψεται.

34. Φύματα [12] ὅσα φύεται, πάντα ὑπὸ φλέγματος ἢ αἵματος φύεται· ὅταν δὲ ὑπὸ τρώματος ἢ πτώματος ἀθροισθῇ, ξυμφέρει [13] δὴ τούτων, τὰ μὲν καταπλάσσοντα καὶ φάρμακα πιπίσκοντα διαχεῖν, τὰ δὲ καταπλάσσοντα πεπαίνειν· καὶ [14] διαχέει μὲν τῶν καταπλασμάτων ὅσα θερμὰ ἐόντα ὑγραίνει, καὶ μὴ σπᾷ ἐς ἑωυτά· πεπαίνει δὲ ὅσα

[1] Δ' ἐν EHK. – τοῖς μεγάλοις θ. – τοῖσι μεγάλοισιν Mack. – τ. μεγ. om. vulg. – ἡ ὀδ. om. H. – ἐγκαταλείπηται EHIJθ, Lind. – ἐγκαταλίπηται K. – καταλείπηται Mack. – ἐγκαταλείπεται vulg. — [2] ἴκτερον δὲ EHKθ. – τὸν δὲ ἴκτ. vulg. — [3] γέγραπται, al. manu προ H. – καθαίρειν J. – φαρμ. τι (τι om. EHKθ) π. κ. ὃ (ὅ τι EHKθ) vulg. — [4] δὲ om. θ. — [5] δ' E. – δὲ om. (H, restit. al. manu) θ. – ἐμπίπτει EFGJ. – ἐς H, Lind. – εἰς vulg. — [6] καὶ γὰρ ν. om. θ. – νουσ. om. H. – ἀεὶ ωθεν (sic) pro εἴωθ. θ. — [7] σμ. EHKθ. – μ. vulg. – προφάσιων E (H, al. manu) K, Lind. – σίτων θ. – σχόμενα θ. — [8] [καὶ] ὅσα Lind. – ἕνεκα θ. – ἀεὶ ante προσφ. HK. – ἃ δεῖ προσφέρειν, et ἀεὶ om. θ. — [9] φυλάττ. EHK. – ταῦτα μάλ. θ. – τὰ (τὰ om. H) μάλ. vulg. — [10] [καὶ] ταῦτα μὲν Lind., Mack. — [11] δὲ θ. – γὰρ vulg. — [12] δὲ ὅσα E. – πάντα ponitur ante ὅσα θ. – Ante ὅταν addunt εἰ (ἢ H) γὰρ ὑπὸ φλέγματος, et δὲ om. EHθ. – δὴ legit Cornarius et superioribus adjungit, Foes in not. – τραύματος Eθ. — [13] δὲ EHKθ. — [14] διαχεῖν θ. – τῶν

non mortelle. Si la douleur reste fixée sur les gros orteils, on brûlera les veines (*comp. pour l'ustion des veines,* Des Lieux dans l'homme, § 40) de l'orteil un peu au-dessus du condyle, et on les brûlera avec du lin écru.

32. (*Ictère.*) L'ictère doit être traité ainsi : en dehors on assouplira le corps par des bains chauds; on humectera le ventre et la vessie, et on donnera les diurétiques indiqués ci-dessus. Si l'ictère est intense, après avoir purgé la tête (*par les errhins*), on administre un purgatif cholagogue, puis on se sert des diurétiques. Cette maladie est produite quand la bile mise en mouvement se porte sous la peau.

33. (*Remarque sur l'utilité des notions précédentes.*) Avec de telles connaissances un homme du monde ne tombera pas aussi facilement qu'un autre en des maladies incurables; car c'est ordinairement de petites causes que les maladies deviennent grandes et durables. Pour tout ce qui tient aux aliments, aux boissons, aux potages, aux médicaments donnés pour la douleur, on les administrera constamment sans aucun danger, si on les administre conformément à ce qui a été écrit. Mais il n'en est pas de même des évacuants cholagogues ou phlegmagogues; là commencent les dangers (Epid. v, t. V, p. 199) et les accusations contre les médecins; il faut donc s'en garder particulièrement. Telles sont les maladies qui surviennent au ventre (*poitrine et abdomen*), excepté l'empyème, la phthisie et les affections des femmes. De celles-là il sera traité à part.

34. (*Des tumeurs.*) Les tumeurs proviennent toutes du phlegme ou du sang; quand la collection est la suite d'un coup ou d'une chute, il convient, pour les unes, de les dissoudre à l'aide de cataplasmes et d'évacuants pris à l'intérieur; pour les autres, de les mûrir à l'aide de cataplasmes. Sont résolutifs les cataplasmes qui, étant chauds, humectent et n'attirent pas à soi; sont maturatifs ceux qui, échauffant, conden-

om., restit. al. manu H. – ἐόντα θ. – ὄντα (ὄν. om. J) vulg. – δὲ κἂν pro καὶ μὴ J.

θερμαίνοντα [1]ξυνάγει· ὅταν δὲ τμηθῇ, ἢ αὐτόματον ῥαγῇ, [2]φαρμάκῳ ἀνακαθαίρειν τὸ ὑγρόν· ὅταν δὲ πυοῤῥοοῦντα παύσηται, ὡς ἕλκος ἰῆσθαι.

35. Λέπρη καὶ κνησμὸς καὶ ψώρη καὶ λειχῆνες καὶ ἀλφὸς καὶ ἀλώπεκες ὑπὸ φλέγματος γίνονται· ἔστι δὲ [3]τὰ τοιαῦτα αἶσχος μᾶλλον ἢ νουσήματα· κηρίον καὶ χοιράδες καὶ φύγεθλα καὶ δοθιῆνες καὶ ἄνθραξ ὑπὸ φλέγματος φύεται.

36. Τούτοισι [4]τοῖσι φαρμάκοισιν ἀποκαθαίροντα ὧδε χρῆσθαι· ὅσοι μὲν χολώδεές εἰσι, διδόναι [5]τὰ ὑφ' ὧν χολὴ καθαίρεται· ὅσοι δὲ φλεγματώδεες, [6]τὰ ὑφ' ὧν φλέγμα· ὅσοι δὲ μελαγχολῶσι, [7]τὰ ὑφ' ὧν μέλαινα χολή· [8]τοῖσι δὲ ὑδρωπιῶσι τὰ ὑφ' ὧν ὕδωρ. Ὅσα δε δίδοται φάρμακα ποτὰ καὶ μὴ καθαίρει μήτε χολὴν μήτε φλέγμα, ὅταν ἐς τὸ σῶμα ἐσέλθῃ, τὴν δύναμιν αὐτὰ παρέχεσθαι δεῖ ἢ ψύχοντα ἢ θερμαίνοντα ἢ ξηραίνοντα ἢ ὑγραίνοντα ἢ [9]ξυνάγοντα ἢ διαχέοντα· ὅσα δὲ ὕπνον ποιέει, ἀτρεμίην δεῖ τῷ σώματι παρέχειν τὸ φάρμακον.

37. Ὅταν δὲ ἐπὶ νοσέοντα ἀφίκῃ, [10]ἐπανερωτᾷν χρὴ ἃ πάσχει, καὶ ἐξ ὅτου, καὶ ποσταῖος, καὶ τὴν κοιλίην εἰ διαχωρέει, καὶ δίαιταν ἥντινα διαιτᾶται, καὶ ἐνθυμέεσθαι πρῶτα μὲν τὸ νούσημα πότερον ἀπὸ χολῆς ἢ φλέγματος γεγένηται ἢ ἀμφότερα, καὶ τοῦτο εὖ εἰδέναι ὅτι [11]ἀνάγκην ἔχει ὥστε ὑπὸ τούτων τοῦ ἑτέρου ἢ ἀμφοτέρων γίνεσθαι, ἔπειτα πότερον [12]ξηρασίης ἢ ὑγρασίης χρήζει, ἢ τὰ μὲν τοῦ σώματος ξηρασίης, τὰ δὲ ὑγρασίης· ἔπειτα τὴν νοῦσον, εἴτε ἄνω δεῖ θεραπεύειν, εἴτε κάτω, εἴτε διὰ τῆς κύστιος, καὶ εἴτε αὔξεται ἡ νοῦσος, εἴτε μαραίνεται, εἴτε [13]λύεται, εἴτε μεταπίπτει εἰς ἑτέρην νοῦσον.

38. Τοὺς τρωματίας λιμοκτονέειν, καὶ ἐκ τῆς κοιλίης ὑπάγειν τὰ ἐνεόντα, ἢ ὑποκλύζοντα, ἢ φάρμακον κάτω [14]διδόντα, καὶ πίνειν

[1] Συν. θ. – δέ τι vulg. – τι om. EHKθ. — [2] ἢ φ. ἀν. τὸ πῦον θ. – δὲ om. J. – ἴᾶσθαι EHIJθ. – κνισμὸς κ. ψώρα θ. – ληχῆνες Ald. – λιχῆνες GIJ. – ἀλώπεκις al. manu H. – γίνεται EHP'. — [3] ταῦτα pro τὰ EHK. – ταῦτα pro τὰ τ. θ. – ἀεἰκεα (sic) pro αἶσχος θ. – φύγετρα θ. – ἄνθρακες θ. — [4] τοῖς θ. — [5] τὰ om. (H, restit. al. manu) θ. – φλεγματῶδες θ. — [6] τὰ om. EHKθ. – μελαγχολῶσι EHKθ, Mack. – μελαγχολοῦσι vulg. — [7] τὰ om. Hθ. — [8] τοῖς θ. – καθαίρει K'θ, Mack. – καθαίρειν vulg. – ἐσέλθῃ Eθ. – εἰσ. vulg. — [9] συν. θ. – ποιεῖ θ. – ἀτρεμείην θ, Mack. – σώματι θ, Mack. – αἵματι vulg. — [10] ἐπανέρεσθαι θ. – ποστέος θ. – διαίτην θ. – ἣν G. – πρῶτον KP'θ. — [11] D'après Mack, θ a ἀνάγκη sans ἔχει ; ma collation n'en dit rien. — [12] ὑγρ. ἢ ξ. χρίζει θ. — [13] τελευτᾷ θ.

sent. Si on incise, ou si l'ouverture se fait spontanément, on purge l'humeur à l'aide d'un médicament; quand l'écoulement du pus a cessé, on traite comme une plaie.

35. (*Lèpre, prurigo, gale, lichen, alphos, alopécie, favus, scrofules.*) La lèpre, le prurigo, la gale, le lichen, l'alphos, l'alopécie, proviennent du phlegme; ce sont là plutôt des difformités que des maladies. Le favus, les scrofules, les pustules, les boutons, l'anthrax sont produits par le phlegme.

36. (*De l'emploi et de l'effet des médicaments.*) On emploiera ainsi qu'il suit les médicaments purifiants : aux personnes bilieuses, on donnera les cholagogues; aux personnes phlegmatiques, les phlegmagogues; aux personnes mélancoliques, les remèdes qui purgent la bile noire; aux hydropiques, les remèdes qui purgent l'eau. Les potions médicamenteuses qui n'évacuent ni la bile ni le phlegme doivent, introduites dans le corps, manifester leur propriété en refroidissant, en échauffant, en desséchant, en humectant, en contractant, en résolvant. Les médicaments qui procurent le sommeil doivent mettre le calme dans le corps.

37. (*Examen du malade.*) Quand vous visitez un malade, demandez-lui ce qu'il souffre, par quelle cause, depuis quand, si le ventre est libre, et quel régime il mène. D'abord on examinera si la maladie est produite par la bile ou le phlegme, ou par tous les deux, sachant bien que nécessairement elle a pour cause soit l'un et l'autre, soit l'un ou l'autre. Puis on verra si le malade a besoin d'être desséché ou humecté, ou si une partie du corps a besoin d'être desséchée et une autre d'être humectée. On recherchera si la maladie réclame un traitement ou par le haut ou par le bas ou par la vessie, si elle est dans l'augment ou dans la décroissance, si elle se résout ou se change en une autre.

38. (*Des plaies.*) Dans les blessures, il faut prescrire la

-ἐς Lind. -ἑτέρην Εθ, Lind., Mack. -ἑτέραν vulg. -λειμοκτονέειν θ. — [14] διδόναι EP'Q'.

ὕδωρ[1] καὶ ὄξος,[2] καὶ ῥοφεῖν. Τὰ φλεγμαίνοντα ψύχειν καταπλάσμασι· τὰ δὲ [3] τοιαῦτα καταπλάσματα εἶναι ἢ τεῦτλα ἑφθὰ ἐν ὕδατι, ἢ σέλινον, ἢ ἐλαίης φύλλα, ἢ συκῆς φύλλα, [4] ἢ ἀκτῆς φύλλα, ἢ βάτου, ἢ ῥοιῆς γλυκείης, ἑφθοῖσι [5] μὲν τούτοισι χρῆσθαι· ὠμοῖσι δὲ [6] ῥάμνου φύλλοισιν, ἢ ἄγνου, ἢ ἐλελισφάκου, [7] ἢ τιθυμάλλου, ἢ γλήχωνα χλωρὴν, ἢ πράσα, ἢ σέλινα, ἢ κορίανον, ἢ ἰσάτιος φύλλα· ἢν δὲ [8] μηδὲν τούτων ἔχῃς [9] μήτε ἄλλο τι μηδὲν κατάπλασμα, ἄλφιτον φυρήσας ὕδατι ἢ οἴνῳ καταπλάσαι. [10] Τοσοῦτον δὲ χρόνον καταπλάσματα τάδ' ὠφελέει, [11] ὁκόσον ἂν ψυχρότερα ᾖ ἢ τὸ ἕλκος· ὅταν δὲ ᾖ θερμότερα ἢ ὁμοίως θερμὰ, βλάπτει. Τὰ λιπαρὰ [12] πρὸς τὰ φλεγμαίνοντα οὐ ξυμφέρει, οὐδὲ πρὸς τὰ ἀκάθαρτα, οὐδὲ πρὸς τὰ σηπόμενα· ἀλλὰ πρὸς μὲν τὰ φλεγμαίνοντα [13] ξυμφέρει τὰ ψυχρὰ, πρὸς δὲ τὰ ἀκάθαρτα καὶ [14] τὰ σηπόμενα [15] τὰ δριμέα καὶ ὅσα δῆξίν τινα παρεχόμενα καθαίρει· ὅταν δὲ σαρκοφυῆσαι βούλῃ, [16] τὰ λιπαρὰ καὶ τὰ θερμὰ μᾶλλον ξυμφέρει, πρὸς ταῦτα γὰρ ἡ σὰρξ θάλλει.

39. [17] Ὁκόσοισιν ἄνθρωποι σιτίοισιν ἢ ποτοῖσιν ὑγιαίνοντες ἐς δίαιταν χρῶνται, ἐκ τούτων χρὴ τῶν παρεόντων [18] χρῆσθαι πρὸς τοὺς νοσέοντας σκευάζοντα θερμὰ καὶ ψυχρὰ καὶ ὑγρὰ καὶ ξηρά· ἐκ μὲν ψυχρῶν θερμὰ, [19] ἐκ δὲ θερμῶν μὴ θερμὰ, [20] καὶ ξηρὰ ἐκ μὴ ξηρῶν, καὶ τὰ λοιπὰ κατὰ τὸν αὐτὸν τρόπον. Ἀπορέειν δὲ [21] οὐ χρὴ, οὐδὲ τοῖσι

[1] Ἢ vulg. – J'ai corrigé sans mss. — [2] καὶ θ. – ἢ vulg. – ῥυφεῖν EGHIJKθ, Ald. – Post ῥ. addunt ὕδωρ EP'Q'θ. — [3] τ. om. EHP'Q'θ. – σέλινα K. – ἢ συκ. φ. om. J. — [4] ἢ ἀκτῆς φύλλα θ. – ἢ ἀ. φ. om. vulg. – Post βάτου addit ἢ βαλάνου vulg. – ἢ βαλάνου om. (H, restit. al. manu) θ. – ἐφθοῖς θ. — [5] μὲν EHKθ. – δὲ vulg. — [6] ῥαφάνου θ. — [7] ἢ om. Lind. – γλήχονα GJ, Ald., Frob. – γληχω (sic) θ. – κορρίαννον H. – κορίαννον EK. – κόριον θ. – ἰσάτεος K. – σάτιος FGHIJ. — [8] μηδὲ FG. – μηδὲν om. J. – ἀπὸ τούτων vulg. – ἀπὸ om. (H, restit. al. manu) θ. — [9] μήτε θ. – μηδὲ vulg. – τι om. EHKθ. — [10] καὶ τὸν τοιοῦτον pro τ. J. – τὰ κατ. sine τάδ' EHKθ. — [11] ὁπ. EHK. – ἐφ' ὅσον θ. – Post ἂν addunt χρόνον EGHθ, Ald. — [12] οὐ ξ. πρὸς τὰ φλ. E. – μὲν om. FGIJ. — [13] ξ. τὰ om. (H, restit. al. manu) θ. — [14] τὰ om. θ. — [15] τὰ om. (H, restit. al. manu) θ. – τινα om. (H, restit. al. manu) θ. – γὰρ pro δὲ E. – βούλει J. – βούληται θ. — [16] τὰ om. θ. — [17] ὁπόσοι HK. – ὁκόσοι E. – ὁπόσοισιν I. – ὅσοι ἀνθρώποισι τοῖσιν (sic) ἢ πότοισιν θ. — [18] χρέεσθαι Lind. – σκευάζονται θ. – καὶ θ. καὶ ψ. EI. – καὶ ψ. καὶ θερμὰ θ. — [19] ἐκ δὲ θερμῶν μὴ θερμὰ E (al. manu H) K. – καὶ θερμὰ ἐκ μὴ θερμῶν vulg. – καὶ θερμὰ μὴ ἐκ μὴ θερμῶν θ. — [20] καὶ ξ. ἐκ μὴ ξ. om., restit. al. manu H. — [21] οὐ om. E (H, restit. al. manu) J. – ζητοῦντα θ. – Ante μηδὲν addit ἃ al. manu H. – Post εἶναι addit χρὴ θ. – σκοπήσῃς θ. – σκοπίῃς E. – τούτων θ.

diète, débarrasser le ventre des matières, soit par un lavement, soit par un purgatif, donner pour boisson de l'eau et du vinaigre, et pour nourriture des potages. On rafraîchira avec des cataplasmes les parties enflammées ; ces cataplasmes seront ou des bettes (*beta vulgaris*, L.) cuites dans de l'eau, ou du céleri (*apium graveolens*, L.), ou des feuilles d'olivier, ou des feuilles de figuier, ou des feuilles de sureau, ou de ronces, ou de grenadier doux. Ces feuilles seront employées cuites ; mais on emploiera crues celles de nerprun, d'agnus-castus (*vitex castus*, L.), de sauge, de tithymale (*euphorbia characias*, L.), de pouillot verd, de porreau, de céleri, de coriandre, ou de guède (*isatis tinctoria*, L.). Si vous n'avez aucune de ces plantes ni aucun autre cataplasme, pétrissez de la farine avec de l'eau ou du vin, et appliquez-la. Ces cataplasmes sont utiles aussi longtemps qu'ils sont plus froids que la plaie ; mais, s'ils sont plus chauds ou également chauds, ils nuisent. Les substances grasses ne conviennent ni aux parties enflammées ni aux plaies sordides, ni aux plaies putrides ; ce qui convient aux parties enflammées, ce sont les applications froides ; aux plaies sordides et aux plaies putrides les substances âcres et qui, ayant quelque chose de mordicant, mondifient. Quand on veut incarner, il vaut mieux employer les applications grasses et les applications chaudes, car elles font bourgeonner les chairs.

39. (*Des aliments et des boissons.*) Les aliments et les boissons dont les personnes se servent en santé doivent, se trouvant sous la main, être utilisés pour le cas de maladie, et rendus, par la préparation, chaudes, froides, humides, sèches, c'est-à-dire qu'avec des substances froides on en fera de chaudes, avec des chaudes on en fera qui ne le seront pas, avec des sèches on en fera qui ne seront pas sèches, et le reste de la même façon. Il ne faut pas vous laisser embarrasser, et, tandis que vous ne savez pas vous aider de ce qui est à votre portée et que vous cherchez ce qui est absent, demeurer inutile au malade. Étendez judicieusement votre recherche au delà

παρεοῦσι μὲν μὴ δύνασθαι, τὰ ἀπόντα δὲ ζητεῦντα μηδὲν ὠφελέειν τὸν κάμνοντα οἷόν τε εἶναι· εὑρήσεις δὲ, ἢν ὀρθῶς σκοπέῃς ἔξω τουτέων, [1]οἷσι πρὸς τὸν νοσέοντα χρῶνται, ὀλίγα.

40. [2]Ῥοφήματα δὲ ἐν τῇσι νούσοισιν ἁπάσῃσι διδόναι ἢ πτισάνην ἢ κέγχρον ἢ ἄλητον ἢ χόνδρον· τούτων [3]ὁκόσα μὲν δίδως ἐς διαχώρησιν, λεπτὰ διδόναι καὶ διεφθότερα, καὶ γλυκύτερα ἢ ἁλυκώτερα ἢ θερμότερα· ὁκόσα δὲ ἐς ἰσχὺν ἢ ἀνακομιδὴν, παχύτερα [4]καὶ λιπαρώτερα καὶ μετρίως ἑφθά. Ποτοῖσι δὲ χρῆσθαι, ἢν μὲν ὑπάγειν ἐθέλῃς τὴν κοιλίην καὶ τὴν κύστιν, γλυκὺν οἶνον ἢ μελίκρητον· ἢν δὲ στύφειν, αὐστηρὸν, λευκὸν, λεπτὸν, ὑδαρέα· [5]ἢν δὲ ἐς ἰσχὺν, αὐστηρὸν, μέλανα· ὁκόσοι τὸν οἶνον πίνουσιν ἀνηλεῶς, τούτοισι διδόναι, ἃ γέγραπται ἐν τῇ φαρμακίτιδι ποτὰ σκευαζόμενα.

41. Τοῖσι [6]φαρμακοποτέουσι διδόναι μετὰ τὴν κάθαρσιν, τοῖσι μὲν πυρέσσουσιν, ἢ φακὸν ἢ κέγχρον λεπτὸν ἢ πτισάνης χυλόν· διδόναι δὲ πτισάνην μὲν καὶ κέγχρον ὡς κοῦφα ἐόντα, [7]χόνδρον δὲ ὡς ἰσχυρότερον τούτων, καὶ ἄλητον ὡς ἰσχυρότατον πάντων· φακὸν [8]δὲ εὐώδεα σκευάσαι, καὶ ὀλίγον δεύτερον διδόναι ὡς καὶ κοῦφον ὂν ῥόφημα καὶ εὐκάρδιον ἄνω· παραμίσγειν δὲ ἢ ἅλας ἢ μέλι καὶ κύμινον καὶ ἔλαιον [9]τῷ φακῷ, ἢ [10]χλόης γλήχωνος καὶ ὄξους ὀλίγον· τοῖσι δὲ ἀπύροισιν ἄρτου καθαροῦ τὸ ἔσωθεν ἐνθρύψας ἐν ζωμῷ, ἢ μᾶζαν καὶ τέμαχος ἑφθὸν, [11]ἢ κρέας οἰὸς ὡς νεωτάτης, ἢ ὄρνιθος, ἢ σκύλακος ἑφθὸν, [12]ἢ τεῦτλον ἢ κολοκύντην ἢ βλῆτον, [13]καὶ μετὰ τὸ σιτίον πίνειν οἶνον εὐώδεα, παλαιὸν, λευκὸν, ὑδαρέα.

[1]Τοῖσι θ. — [2]ῥυφ. τάδε ἐν τ. ν. πάσῃσι θ. - δ' EHK. - ἢ (quater) om. θ. - ἢ primum et sec. om., restit. al. manu H. - πτισσάνην E. — [3]ὁπ. (bis) H. - ὅσα (bis) θ. - δίδως Ald., Frob. - διδῷς vulg. - δίδως om. θ. - ἐς E, Lind. - εἰς vulg. - πρὸς θ. — [4]καὶ EHKθ, Lind., Mack. - καὶ om. vulg. - πότοισι θ. - χρέεσθαι Lind. - ἐθέλοις θ. - λεπτὸν λευκὸν θ. — [5]ἢν δὲ ἰσχύειν vulg. - ἢν δὲ ἐς ἰσχὺν θ. - ὅσοι θ. - ὁπόσοι HI. — [6]φαρμακοποτέοισι (sic) IJ. - κάθαρσι θ. - κιγχρὸν (sic) sine λεπτὸν θ. - πτισσάν. (ubique) E. - ὄντα θ. — [7]χ. δὲ ὡς ἰσχυρότατον πάντων, καὶ ἄλ. ὡς ἰσχυρότερον (ἰσχυρότατον G, H eadem manu ἰσχυρότερον, θ) τούτων vulg. - καὶ ἄλητον ὡς ἰσχυρότερον τούτων, χόνδρον δὲ ὡς ἰσχυρότατον πάντων Lind. - Je pense, comme Lind., qu'il y a une correction à faire; la plus simple me paraît celle que j'ai adoptée. — [8]Post δὲ addit ὡς θ. - ὂν om. θ. — [9]τῷ δὲ φακῷ παραμισγεῖν (παρ. om., restit. al. manu H) ἢ vulg. - τῶ φάκω (sic) ἢ θ. — [10]γλ. χλόην E (χλόης K). - ὄξος Codd. - ἀπυρέτοισιν (H, al. manu), Mack. - ἀπυρέτοις θ. - ἄρτος J. - ἐνθρύψας Codd. - ἐντρίψας vulg. - μᾶζαν (ubique) Kühn.

de ce qu'on emploie pour les malades, et vous trouverez quelques secours.

40. (*Du potage, ῥόφημα; on appelle ῥόφημα un potage à l'orge ou à tout autre grain; quand on voulait le rendre très-léger, on ne donnait que l'eau où le grain avait bouilli. De la boisson des malades.*) Pour potage on donne, dans toutes les maladies, ou la ptisane (*orge mondé*), ou le cenchros (*panicum miliaceum*, L.), ou la farine, ou le blé. Quand vous les donnerez pour relâcher le ventre, ils seront légers, bien cuits, plutôt doux que salés, et chauds; si vous les donnez pour fortifier ou pour restaurer, ils seront épais, assez gras et médiocrement cuits. Pour boisson, si vous voulez faciliter les selles et l'urine, vous donnerez du vin doux ou de l'hydromel; si vous voulez resserrer, un vin astringent, blanc, léger, coupé d'eau; si vous voulez fortifier, un vin astringent, noir. Quant à ceux qui ne boivent pas volontiers du vin, on leur donnera des potions dont la préparation est écrite dans la Pharmacie.

41. (*Régime des personnes qui viennent de prendre un évacuant.*) Aux personnes qui prennent un évacuant, on donne, après l'évacuation, si elles ont de la fièvre, de la lentille, du cenchros léger, ou de l'eau d'orge (la ptisane et le cenchros sont légers; le blé est plus nourrissant que ceux-ci, et la farine l'est plus que tout le reste; on aromatise la lentille et on la donne en petite quantité en second lieu, étant un potage léger et restaurant; on y mêle ou du sel ou du miel, du cumin et de l'huile, ou un peu de pouliot vert et du vinaigre). Si elles sont sans fièvre, on donne le dedans du pain blanc écrasé dans du bouillon, ou de la pâte d'orge avec une salaison bouillie, ou de la viande bouillie d'une brebis aussi jeune que possible, ou d'une volaille, ou d'un jeune chien, ou des bettes, ou des courges, ou des blettes; après avoir mangé, elles boiront du vin odorant, vieux, blanc, étendu d'eau.

– μάζαν (ubique) vulg. – τέμμαχος G, Ald. – τεμάχιον P', Mack. — [11] ἢ....

42. [1]Οἷσι λούεσθαι μὴ ξυμφέρει, ἀλείφειν οἴνῳ καὶ ἐλαίῳ θερμῷ, καὶ ἐκμάσσειν διὰ τρίτης.

43. Ὅταν κοιλίην ὑγραίνειν ἀπὸ σιτίων ἀσθενέοντος ἐθέλῃς, διδόναι μᾶζαν καὶ ὄψα, θαλασσίων μὲν τεμάχεα ἑφθὰ ἐν ὑποτρίμματι, κρέα δὲ οἰὸς ὡς [2]νεωτάτης, ἢ ἐρίφου, ἢ σκύλακος, ἢ ὄρνιθος ἑφθὰ, [3]καὶ τεῦτλα [4]ἢ βλῆτα ἢ λάπαθα ἢ κολοκύντην, ἣν ἡ ὥρη ᾖ· λάχανα δὲ, σέλινα καὶ ἄνηθα καὶ ὤκιμα· καὶ τὸν οἶνον μελιχρὸν, παλαιὸν, λευκὸν, ὑδαρέα. Ὅταν δὲ ξηραίνῃς τὸ σῶμα, διδόναι ἄρτον, καὶ ὄψα ὀπτὰ καὶ ξηρὰ, καὶ θερμότερα ταῦτα πάντα, [5]καὶ κρεῶν τὰ μέλεα, ὅσα σαρκώδεα, ἰχθύων τοὺς πετραίους, λάχανα πήγανον ἢ θύμον ἢ ὀρίγανον, τὸν δὲ οἶνον μέλανα [6]αὐστηρόν· σκευάζειν δὲ τὰ ὄψα [7]ἁλσὶ καὶ κυμίνῳ, καὶ τοῖσιν ἄλλοισιν ἀρτύμασιν ὡς ἐλαχίστοισι χρῆσθαι. Ὅταν δὲ ἀνακομίσαι ἐκ νούσου ἐθέλῃς, διδόναι τὰ μὲν ἄλλα [8]ταὐτὰ, ἃ καὶ ὅταν διυγραίνῃς τὴν κοιλίην, τὰ δὲ κρέα ἀντὶ τῶν [9]γαλαθηνῶν ἰσχυρότερα, καὶ ἀντὶ τῶν κυνείων ὀρνίθεια καὶ [10]λάγεια, καὶ τούτων ἔνια ὀπτὰ καὶ τῶν κρεῶν καὶ τῶν ἰχθύων [11]καὶ ἐσκευασμένα ὡς ἄριστα. Ὁκόσοισι τῶν νουσημάτων ξηρασίη ξυμφέρει, μονοσιτίη ξυμφέρει, καὶ τὰ σιτία καὶ τὰ ποτὰ ἐλάσσω τελέειν ἢ ὥστε πλήρη εἶναι, καὶ ταῦτα ἐκπονέειν, καὶ περιπατεῖν, καὶ κοιμᾶσθαι ὡς ἐλάχιστα. [12]Ὁκόσοισι δ' αὖ ὑγρασίη ξυμφέρει, μὴ ἀσιτέειν, καὶ τοῦ σιτίου καὶ τοῦ ποτοῦ μὴ ἐνδεᾶ εἶναι, μηδὲ πονέειν, καὶ κοιμᾶσθαι ὁκόσα ἂν ἐθέλῃ.

ἑφθὸν om. J. – νεοτάτης θ. – ἑφθὰ θ. — [12] καὶ τοῖσι πυρέττουσιν ἢ vulg. – καὶ τοῖσι πυρέττουσιν om. (H, restit. al. manu) θ. – τεῦτλα θ. – βλίτον EHθ. — [13] ἢ θ. – εὐώδεα (E, al. manu οἰνώδεα) Q'θ. – οἰνώδεα vulg. – ὡς ὑδαρέα (ὑδαρέστατον Lind.) vulg. – ὡς om. (E, restit. al. manu) HKθ.

[1] Ὅσοις θ. – τεμάχεα, al. manu χια H. – τεμάχη θ. – τεμάχια vulg. – τεμμάχια GK, Ald. – κρέας θ. — [2] νεοτάτης θ. – ἐρύφου K. – ἑφθὰ om., restit. al. manu H. — [3] ἢ θ. — [4] καὶ θ. – βλίτα EHKθ. – ἢ EHK. – ἢ om. vulg. – δὲ om. J. – Ante σέλ. addit σοι ειν ε (sic) θ. – Cela se résout facilement en σοι εἶναι. – μελίχροον H. – μελίχρων E. – μέλιχρον θ. — [5] καὶ om. Hθ. – σαρκώδη θ. – λάχανον H. — [6] ἢ αὐστ. EQ'θ, Lind. — [7] ἄλει (sic) θ. – οἷς ἐλαχίστοις pro ὡς ἐλ. θ. – χρέεσθαι Lind. – δ' Eθ. – νούσου E, Lind. – νόσου vulg. – θέλῃς θ. — [8] τὰ αὐτὰ EHKθ. – ἃ om., restit. al. manu H. — [9] γαλαθηνῶν E (H, ex emend. al. manu) IJKθ, Ald., Mack. – γαλατηνῶν vulg. – κυνίων ὀρνίθια θ. — [10] λάγανα Ald. — [11] καὶ om. θ. – ὁπόσοισι HKθ. – [δὲ] τῶν Lind. – νόσ. HKθ, Mack. – μονοσ. ξ. om. FGIJ. – πότα θ. – ἢ om. EFGIJK. – ἐκπονεῖν θ. — [12] ὁπ. HK. –

42. (*Moyen de remplacer le bain.*) Les personnes à qui il ne convient pas de se baigner se feront oindre avec de l'huile et du vin chauds, et se feront frictionner tous les deux jours.

43. (*Alimentation propre à relâcher ou à resserrer le ventre, à humecter le corps ou à le dessécher.*) Voulez-vous, chez une personne indisposée, relâcher le ventre par l'alimentation, vous donnerez de la pâte d'orge avec le mets, qui sera ou des salaisons marines cuites dans la sauce, ou des viandes cuites de jeune brebis, de chevreau, de jeune chien, de volaille, et des bettes ou des blettes ou de la patience, ou de la courge, si c'en est la saison; pour légumes verts, le céleri, l'aneth, l'ocymum (basilic?); pour vin, un vin mielleux, vieux, blanc, coupé d'eau. Quand vous voulez dessécher le corps, vous donnez du pain et des mets rôtis et secs, tout cela chaud; en fait de viande, les membres charnus, les poissons de roche; pour légumes verts, la rue, ou le thym, ou l'origan, et le vin noir astringent; on préparera les mets avec du sel et du cumin; quant aux autres condiments, on les emploiera aussi peu que possible. Quand vous voulez restaurer un convalescent, vous donnerez, d'un côté, les mêmes substances que lorsqu'on humecte le ventre, d'un autre côté, des viandes nourrissantes au lieu de viandes d'animaux qui tettent, des volailles et des lièvres au lieu de viandes de chien; de ces viandes et de ces poissons, on en fera rôtir quelques-uns, et on les apprêtera aussi bien que possible. Dans les maladies où il convient de dessécher, on ne fera qu'un repas par jour; on restera, pour le boire et le manger, au dessous de son appétit; on consumera ces aliments par les exercices et les promenades, et l'on dormira aussi peu que possible. Convient-il au contraire d'humecter, point d'abstinence; on mangera et boira à sa suffisance; on ne s'exercera pas, et l'on dormira autant qu'on voudra.

ὅσοις θ. - δὲ sine αὖ EHKθ. - ξυμφ. om. θ. - σιτοῦ (sic) θ. - πότου θ. - πονεῖν θ. - ὅσ' ἂν θ. - όπ. HK.

44. [1] Ὁκόσων ἐπιθυμέουσιν οἱ κάμνοντες ἢ σιτίων ἢ ὄψων ἢ ποτῶν, ὑπαρχέτω ταῦτα, ἢν μή τι μέλλῃ τῷ σώματι βλάβος ἔσεσθαι. [2] Ὁκόταν ἢ σιτίων ἢ ποτῶν προστιθέναι ἄρξῃ ἢ ἀφαιρέειν, κατ' ὀλίγον χρὴ καὶ τὰς προσθέσιας ποιέεσθαι καὶ τὰς ἀφαιρέσιας. [3] Ὁκόσοι σιτία ἱκανὰ οἷοί τέ εἰσι τελέειν, ῥοφήματα μὴ διδόναι· ἀποκλείει γὰρ τοῦ σιτίου· [4] ὁκόσοι δὲ μὴ οἷοί τε, τούτοισι διδόναι. Ἢν δέ τι διδόναι θέλῃς κομιδῆς ἕνεκα, διδόναι χόνδρον ἢ πτισάνην πυρίνην· ταῦτα γὰρ τῶν ῥοφημάτων ἰσχυρότερα· [5] διδόναι δὲ μετὰ δεῖπνον.

45. Τὰ φάρμακα ὅσα ποτὰ, καὶ ὅσα πρὸς τὰ τρώματα προσφέρεται, μανθάνειν χρὴ, ἄξιον γὰρ ἅπαντος· οὐ γὰρ ἀπὸ γνώμης ταῦτα εὑρίσκουσιν οἱ ἄνθρωποι, ἀλλὰ μᾶλλον ἀπὸ τύχης, [6] οὐδέ τι οἱ χειροτέχναι μᾶλλον ἢ οἱ ἰδιῶται· ὅσα δὲ ἐν τῇ τέχνῃ τῇ ἰητρικῇ γνώμῃ [7] εὑρίσκεται ἢ περὶ σιτίων ἢ περὶ φαρμάκων, παρὰ τῶν οἵων τε διαγινώσκειν τὰ ἐν τῇ τέχνῃ μανθάνειν χρὴ, ἤν τι θέλῃς μανθάνειν.

46. Μετὰ τὰ ῥοφήματα διδόναι [8] τὸ σιτίον τοῖσιν ἀσθενέουσιν· ἐπιπίνειν δὲ οἶνον εὐώδεα· πρὸ δὲ τῶν σιτίων καὶ ποτῶν [9] ἢ ῥοφημάτων, [10] ὅ τι ἄν σοι δοκέῃ, τοῖσιν ἀσθενέουσιν ἐσορῶν τὸ σῶμα καὶ τὴν ψυχὴν προσφέρειν [11] καὶ τὸ σιτίον καὶ τὸ ποτόν· μάλιστα γὰρ ἂν οὕτως ὠφελέοις.

47. [12] Τῶν σιτίων ἃ δύναμιν ἕκαστα ἔχει, τεκμαίρεσθαι χρὴ ἀπὸ τῶν φανερὴν τὴν δύναμιν ἐχόντων, [13] ὁκόσα ἢ φῦσαν ἢ δῆξιν ἢ πλη-

[1] Ὀπ. HK. – ὅσων θ. – πότων (ubique) θ. – τι θ. – τι om. vulg. – βάρος, al. manu βλάβος H. — [2] ὀπ. HK. – ὅτ' ἂν θ. — [3] ὀπ. H. – ὁκόσοισι GJ, Ald. – ὅσοι θ. – τελεῖν θ. – ἀποκλείει.... διδόναι om. K. – σίτου θ. — [4] ὀπ. H. – ὅσοι θ. – τε om. FGJ. – ἢν θ. – ἐὰν vulg. – ἢν δέ τι δ. om. H, restit. al. manu cum ἐάν. – ἐθέλῃς Εθ. – εἵνεκα HK. – πτισσάνην Ald. – πυρρίνην GIJ. – τὰ (τὰ om., H restit. al. manu, θ) ἰσχυρότερα (ἰσχυρότατα EHK) vulg. — [5] καὶ διδ. sine δὲ (H, δὲ al. manu) θ. – τραύματα προσφ., μανθάνειν ἄξιον παραπαντὸς θ, Mack. – ἅπαντας E. — [6] οὐδ' ὅτι οἱ θ. – ἢ μᾶλλον pro μ. ἢ FGIJK, Ald. – ἢ erasum, in marg. al. manu καὶ ἢ μᾶλλον οἱ ἰδ. H. – δ' ἐν HK. — [7] μανθάνεται καὶ εὑρίσκεται vulg. – μανθ. καὶ om. (H, rescriptum al. manu) θ. – ἢ περ (sic) σίτων ἢ φαρμάκων ἢ παρὰ τῶν οιων ται (sic) θ. – σιτίων ἢ φαρμάκων H. – τε om. FGIJ. – διαγιγνώσκειν H. — [8] τὸν σῖτον τ. ἀσθενεστέροισιν θ. – τοῖσιν om. Lind. – ἐπιπίνειν.... ἀσθενέουσιν om. J. – εὐώδεα θ. – οἰνώδεα vulg. — [9] ἢ pro καὶ EK. — [10] Ante ὅ τι addit καὶ μετὰ ταῦτα vulg. – καὶ μ. ταῦτα om. (H, restit. al. manu) θ. – ἐσορῆν J. — [11] καὶ om. K. – ὠφελέοις Coray, Héliod. 2, 45. – ὠφελέῃς vulg. – ὀφελέῃς J. – ὠφελέονται (H, ex emend. alia manu) (θ, sine ἄν). — [12] καὶ τῶν θ. – ἢν pro ἃ Mack. – φανερὴν θ, Lind. – φανερὰν vulg. – ἐχόντων θ. – παρεχομένων vulg. — [13] ὀπ. HK. – ὅσα θ. – φῦ-

44. (*Remarques particulières sur l'emploi des médicaments.*) Ce que les malades désirent en fait d'aliments, de mets, de boissons, on le leur permettra, pourvu qu'il n'en doive résulter aucun dommage pour le corps. Quand vous commencez à ajouter ou à retrancher quelque chose aux aliments ou aux boissons, faites par degrés les additions et les retranchements. A ceux qui sont en état de manger des aliments solides, on ne donnera pas de potages, qui sont un empêchement à l'alimentation ; on en donnera à ceux qui ne sont pas en état de manger. Si vous voulez donner quelque chose pour restaurer, donnez du gruau ou du blé mondé ; ce sont en effet des potages nourissants ; vous les donnerez après le repas du soir.

45. (*Utilité de la connaissance des médicaments.*) Il faut s'instruire des médicaments qui se donnent en potion, et de ceux qui s'appliquent sur les plaies ; c'est une connaissance de première utilité ; en effet, ce n'est pas par réflexion qu'on les découvre, mais plutôt par le hasard, et ce ne sont pas plus les gens du métier que les gens du monde. Mais ce qui est trouvé dans la médecine à l'aide de la réflexion concernant les aliments ou les médicaments doit être appris, si vous voulez apprendre quelque chose, auprès de ceux qui sont en état de discerner les choses de l'art.

46. (*Étudier l'état du malade avant de lui donner des aliments.*) Après les potages on donnera les aliments solides aux malades, qui par dessus boiront un vin odorant. Avant les aliments solides et les boissons ou avant les potages, soit que vous ayez mis le malade aux uns ou aux autres, vous examinerez son état corporel et mental, et vous les administrerez après cet examen ; c'est de cette façon que vous lui ferez le plus de bien.

47. (*Étudier les propriétés des aliments.*) Les propriétés de chaque aliment doivent être déterminées d'après ceux qui ont

σαν (ubique) Kühn. – φύσαν (ubique) vulg. – πλεισμονὴν θ. – ἐρεγμὸν E. – ἢ μὴ διαχ. om. E (H, restit. al. manu) P'.

σμονὴν ἢ ἐρευγμὸν παρέχει ἢ στρόφον, ἢ διαχωρέει, ἢ μὴ διαχωρέει, καὶ φανερά [1]ἐστιν ὅτι ταῦτα ἐργάζεται, [2]καὶ ἀπὸ τούτων χρὴ τὰ ἄλλα σκοπεῖν· ἔχει γὰρ [3]τὰ ἕκαστα τῶν ἐδεσμάτων, διότι [4]καὶ ὠφελέει καὶ βλάπτει· ἀλλὰ τὰ μὲν φανερώτερά ἐστιν ἐργαζόμενα ἃ ἐργάζεται, τὰ δὲ ἀμυδρότερα. Τὰ σιτία καὶ τὰ ὄψα σκευάζειν καὶ διδόναι τοῖσιν ἀσθενέουσιν, ὑφ' ὧν μήτε φῦσα ἔσται, μήτε ὀξυρεγμίη, μήτε [5]στρόφος, μήτε λίην διαχωρέει, μήτε λίην ξηραίνεται· ταῦτα δὲ γίνεται ὧδε· ὅσα μὲν ἡ κοιλίη κρατέει, καὶ τὸ σῶμα αὐτὰ ἀναδέχεται, ταῦτα μὲν οὔτε φῦσαν παρέχεται οὔτε στρόφον· ἢν δὲ μὴ ἡ κοιλίη [6]κρατέῃ, ἀπὸ τούτων καὶ φῦσα καὶ στρόφος καὶ τἄλλα τὰ τοιαῦτα γίνεται. [7]Κουφότατα τῶν σιτίων καὶ τῶν ὄψων καὶ τῶν ποτῶν, ὅσα μέτρια ἐσίοντα ἐς τὸ σῶμα ἢ ὀλίγῳ [8]πλέω τῶν μετρίων, μήτε πλήρωσιν παρέχει, μήτε στρόφον, μήτε φῦσαν, μήτε ἄλλο τῶν τοιούτων μηδὲν, καὶ πέσσεταί [9]τε τάχιστα, καὶ πεσσόμενα διαχωρέει, καὶ ἀνὰ πᾶσάν [10]τε ἡμέρην ἐσιόντα ἐς τὴν κοιλίην ἀλυπότατά [11]ἐστι, καὶ ὅταν διὰ παλαιοῦ ἐσέλθῃ. Βαρέα δὲ, ὅσα μέτρια τελεύμενα ἢ ἐλάσσω τῶν μετρίων, πλήρωσιν καὶ [12]πόνον παρέχει· [13]καθ' ἡμέρην δὲ μηδὲ [14]οἷόν τε ἐσθίειν αὐτὰ [15]μηδὲ πίνειν, ἀλλὰ πόνον παρέχει· [16]διὰ χρόνου δὲ ἄν τις αὐτὰ ἢ πίνῃ ἢ ἐσθίῃ, καὶ οὕτω πόνον παρέχει, καὶ οὐ διαχωρέει ἀνὰ λόγον. Ἐς [17]ὑγιείην ἄριστα, ὅσα ὀλίγιστα ἐσιόντα αὐτάρκεά ἐστι καὶ λιμοῦ καὶ δίψης ἄκος εἶναι, καὶ πλεῖστον χρόνον τὸ σῶμα αὐτὰ δέχεται,

[1] Ἔστιν θ. – ἐστιν om. vulg. — [2] καὶ om. θ. – τά τε ἄλλα vulg. – τε om. (H, restit. al. manu) θ. — [3] τὰ θ. – τὰ om. vulg. — [4] καὶ om. E. – Post ἀλλὰ addit τἄλλα vulg. – τἄλλα om. θ. – φανερώτερα θ. – φανερώτατα vulg. – Ante φαν. addit H φανερῶς, quod est erasum. – ἀμυδρώτερα θ. – σίτα θ. – σκευάζει K. – τοῖς ἀσθενοῦσιν θ – ὀξυρεγμίη EHIJK. – ὀξυρηγμίη θ. – ὀξυρευγμίη vulg. — [5] σκότος θ. – διαχωρέει HIKθ, Lind., Mack. – διαχωρέῃ vulg. – διαχωρέειν E. – ξηραίνηται G. — [6] κρατῇ θ. – τὰ ἄλλα E. — [7] κουφα (sic) θ. – Ante ἐς addit ἐς τὴν κοιλίην H. – τὴν κοιλίην pro τὸ σῶμα, quod est in marg., F. — [8] πλείω θ. – πλήρωσι θ. — [9] τε om. θ. — [10] τε τὴν vulg. – τὴν om. θ. – εἰς J. — [11] ἔσται θ. – ὅσα pro ὅταν Lind. – τελεούμενα θ. – ὅσα pro ἐλάσσω θ. – πλήρωσι θ. — [12] πόνον.... ἀλλὰ om. G. — [13] καὶ μὴ τελέειν (τελέει θ) pro καθ'.... μηδὲ vulg. – καθ'.... οὕτω πόνον παρέχει om. J. – Le texte de vulg. n'est pas intelligible. Cependant il me paraît possible d'en déterminer le sens : cette phrase est la contre-partie de la précédente, où il est dit que les aliments légers n'incommodent jamais *soit qu'on en use tous les jours soit qu'on en use à des intervalles éloignés*. Elle doit donc signifier que les aliments pesants ne peuvent pas être d'un usage journalier, et que, même pris à des intervalles éloignés, ils incommodent. Je crois être sûr de cette restitution

ἰσχναίνηται, καὶ λουτροῖσι κάθαιρε· τοῦ δὲ σικύου τοῦ ἀγρίου τὴν ῥίζαν κόψας, ἐς ὕδωρ ἐμβαλὼν, ἀπὸ τούτου λοῦε· χοληγαγὰ δὲ φάρμακα [1]μὴ πίπισκε, ὡς μὴ ταράσσῃ μᾶλλον τὸ σῶμα τοῦτον· ἐπὴν δὲ [2]ξηρὸν ᾖ τὸ τεταραγμένον, τρέφε, μηδενὶ ὑποχωρητικῷ φαρμάκῳ, [3]μηδὲ διουρητικῷ, ἀλλ' οἴνῳ οἰνώδει καὶ ἅσσα ἐρυθρότερον ποιέει τὸν ἄνθρωπον, τούτοισιν· ἢν δὲ χλωρὸς ᾖ, πάλιν ἐξαρύσαι, ξηραίνειν δὲ μηδαμᾶ, ὡς μὴ παγῇ χλωρὸς ἐών.

29. [4]Θηρίον ἐπέρχεται ἐπὶ τὸ σῶμα διὰ τόδε· ἐπὴν [5]φλεγμαίνῃ ἡ σὰρξ ἡ πέριξ, καὶ οἱ κρημνοὶ μεγάλοι ἔωσι τοῦ ἕλκεος, καὶ τὸ ἕλκος ὑγρὸν, καὶ ἐπὶ τοῦ ἕλκεος ἐξηρασμένος ἐπῇ ἰχὼρ, [6]ἢ τὸ ἕλκος συμπεπηγὸς ᾖ [7]ἢ ξυνσεσηπὸς, ὁ ἰχὼρ ὁ ἀπὸ τοῦ ἕλκεος [8]ἀποῤῥέων κωλύεται ἔξω χωρέειν ὑπὸ τοῦ ἐπιπεπηγότος [9]ἐπὶ τοῦ ἕλκεος πρὸς τὴν σάρκα· ἡ δὲ σὰρξ ὑποδέχεται, ὥστε μετέωρός [10]γ' ἐοῦσα αὐτὴ ὑπὸ φλεγμασίης, καὶ ὅταν ἀφίκηται ὁ ἰχὼρ [11]ὑποῤῥέων, σήπει καὶ μετεωρίζει. [12]Τοῦτον φαρμάκοισιν ὑγραίνοντας αὐτὸ τὸ ἕλκος χρίειν, ὡς ὑγραινομένου ἔξω τὸ ῥεῦμα ῥέῃ ἐκ τοῦ ἕλκεος, καὶ μὴ ὑπὸ τὴν σάρκα, καὶ τὰ κατάῤῥοα τὸν ἕλκεος [13]ψύχουσι φαρμάκοισιν, ὡς [14]χειμιοῦσα συμπιλῆται ἡ σὰρξ καὶ μὴ διαῤῥαγεῖσα ἀντεπιῤῥέῃ· καὶ τἄλλα δὲ ἕλκεα ψύχουσι περιχρίειν, καὶ ἐπ' αὐτὰ τὰ ὑγραίνοντα ἐπιτιθέναι.

30. [15]Κύναγχος ἀπὸ αἵματος γίνεται, ὅταν τὸ αἷμα παγῇ τὸ ἐν τῇσι φλεψὶ τῇσιν ἐν τῷ τραχήλῳ· [16]τούτων ἀπὸ τῶν ἐν τοῖσι γυίοισι φλεβῶν αἷμα ἀφαιρέειν, καὶ ἅμα κάτω ὑπεξάγειν, ὡς τὸ τὴν νοῦσον παρέχον [17]τοῦτο κατασπασθῇ· καὶ γλῶσσαν, ὁπόταν ἕλκεα μεγάλα σχῇ, ὡσαύτως εὐτρεπιστέον.

[1] Μὴ om. A. – τοῦτο Mack. – δὲ om. Lind. — [2] ξηνήνης A. – Sans doute pour ξηρήνης. — [3] μηδὲ δ. om. C. – ἐρυθρώτατον ποιεῖ A. – ἐξαρύσαι A, Lind. – ἐξαρῦσαι vulg. – μηδαμῶς sine ὡς A. — [4] Gal. Gloss. : θηρίον, τήν τε ἕλμινθα καὶ τὸ ἄγριον ἕλκος, ὡς ἐν τῷ Περὶ τόπων τῶν κατὰ ἄνθρωπον· θηρίον ἐπὶ τὸ σῶμα ἐπέρχεται διὰ τόδε· καὶ ὁπόταν ἀφίκηται ὁ ἰχὼρ ἀπορέων, σήπει καὶ μετεωρίζει. — [5] φλεγμήνῃ A. – ἡ πέριξ om. A. – ἐῶσι CE, Ald. — [6] ἢ om. A. — [7] ἢ A. – ἢ om. vulg. – ξυνσεσηπὼς vulg. – ξύνεστιν εἰ πῶς pro ξυνσ. C. — [8] ἀποῤῥέων.... ἕλκεος om. A. — [9] ὑπὸ vulg. – Il faut lire ἐπὶ comme plus haut. — [10] γ' A. – γ' om. vulg. – αὐτὴ A. – αὐτὴ om. vulg. – ὁπόταν L. — [11] ἀπορέων L. – ἀποῤῥέων Lind. – σήπῃ καὶ μετεωρίζῃ A. — [12] τοῦτο A. – χρεἰειν C. — [13] ψυχροῖσι φαρμάκοισι περιχρίειν K', Lind., Mack. — [14] χιμιοῦσα, al. manu χρὴ μὴ ἰοῦσα A. – συμπιλῆται A, Lind., Mack. – συμπέληται vulg. – δ' AC. – ψυχροῖσι Lind., Mack. – περιχρεἰειν C. — [15] περὶ κυνάγχης in tit.

dica elaterium L.), pilez-la, jettez-la dans l'eau, et préparez un bain de cette façon. Ne faites pas boire des cholagognes, afin de ne pas troubler le corps davantage. Quand le corps troublé est desséché, nourrissez le malade sans administrer ni purgatif ni diurétique, mais en lui donnant un vin généreux et tout ce qui rend le corps plus rouge. Si le malade est jaune, il faut de nouveau évacuer, sans dessécher aucunement, afin qu'il n'y ait pas coagulation le corps étant jaune.

29. (*De l'ulcère férin.*) L'ulcère férin s'étend sur le corps de cette façon : la chair environnante s'enflammant, les bords étant élevés, l'ulcère étant humide, un ichor desséché se déposant sur l'ulcère, ou l'ulcère étant compris soit dans l'induration, soit dans la corruption, alors l'ichor fourni par l'ulcère est empêché de s'écouler au dehors en raison de la couche endurcie qui presse l'ulcère du côté des chairs. Les chairs s'en laissent pénétrer, étant elles-mêmes gonflées par l'inflammation ; et l'ichor, venant s'infiltrer, les corrompt et les tuméfie. Dans ce cas on oindra l'ulcère même avec des médicaments humectants, afin que cette humectation permette à l'écoulement de se porter au dehors et non sous la chair; quant aux parties voisines, dont la fluxion alimente l'ulcère, on y appliquera des réfrigérants, afin que la chair refroidie se condense et ne donne pas par son déchirement lieu à une contre-fluxion. En général, il faut oindre le voisinage des ulcères avec des réfrigérants, et appliquer des humectants sur les ulcères mêmes.

30. (*De l'angine et des ulcérations de la langue.*) L'angine vient du sang quand ce liquide se coagule dans les veines du cou. Dans ce cas, on tirera du sang par les veines des membres, et en même temps on procurera des évacuations par le bas, afin que ce qui produit la maladie soit dérivé. La langue, quand elle est affectée de grandes ulcérations, sera traitée de même.

A. —[16] τούτῳ Lind. - γύοισι C, Ald. —[17] ἐς τοῦτο K', Lind., Mack. - οὕτω pro τοῦτο L. - ἔχῃ μεγάλα ὡς αὕτως εὐτρεπιστέον A.

31. Τὰ νοσήματα χρὴ ἀπ' ἀρχῆς ἰᾶσθαι· ὅσα μὲν ἀπὸ τῶν ῥόων γίνεται, τοὺς ῥόους παύειν πρῶτον· ὅσα δ' ἀπ' ἄλλου, παύειν τὴν [1]ἀρχὴν τοῦ νοσήματος, καὶ εὐτρεπίζειν· ἔπειτα τὸ συνεῤῥυηκὸς, ἢν μὲν πολὺ ᾖ, ἐξάγειν· ἢν [2]δὲ ὀλίγον, διαιτῶν καθιστάναι.

32. [3]Κεφαλῆς κατάγματα· ἢν μὲν τὸ ὀστέον καταγῇ καὶ ξυντριβῇ, ἀκίνδυνον· καὶ ἰᾶσθαι χρὴ τοῦτον ὑγραίνουσι φαρμάκοισιν· ἢν δὲ ῥαγῇ καὶ ῥωγμὴ ἐγγένηται, ἐπικίνδυνον· τοῦτον πρίειν, ὡς μὴ κατὰ τὴν ῥωγμὴν τοῦ ὀστέου [4]ἰχὼρ ῥέων τὴν μήνιγγα σήπῃ· ὥστε γὰρ κατὰ στενὸν ἐσιὼν μὲν, ἐξιὼν δὲ οὒ, λυπέει καὶ μαίνεσθαι ποιέει τὸν ἄνθρωπον· τοῦτον χρὴ πρίειν, ὡς ἔξοδος ᾖ τῷ ἰχῶρι, μὴ μοῦνον ἔσοδος, [5]εὐρέως διαπρισθέντος, καὶ φαρμάκοισι χρῆσθαι, ἅσσα ἐφ' [6]ἑωυτὰ τὸ ὑγρὸν ἕλκουσι, καὶ λούειν.

33. Πυρεταίνοντι κεφαλὴν μὴ κάθαιρε, ὡς μὴ μαίνηται· θερμαίνουσι γὰρ [7]τὰ τὴν κεφαλὴν καθαίροντα φάρμακα· πρὸς δὴ τὸ ἀπὸ τοῦ πυρετοῦ θερμὸν τὸ ἀπὸ τοῦ φαρμάκου προσελθὸν μανίην ποιέει. Θανάσιμα [8]τρώματα· ἐφ' ᾧ ἂν τινι κακῶς ἔχοντι χολὴν μέλαιναν ἀπεμέσῃ, ἀποθνήσκει ὁ τὸ τρῶμα ἔχων. Καὶ ὑπὸ [9]ἰνηθμοῦ ὃς ἂν ἐχόμενος καὶ ἔχων ἀσθενέως καὶ λεπτὸς ἐὼν [10]ἐξαπίνης [ἐς] ξηρὸν καθίζῃ, ἀποθνήσκει. Ἐπὴν ὑπὸ θερμωλῆς ἐχομένῳ ἑλκύδρια [11]ἐκθύωσιν ἀσθενεῖ ἐόντι πέριξ πελιδνὰ, ἀποθνήσκει. Ἐπὴν ὑπό τινος νοσήματος ἐχομένῳ ἀσθενεῖ ἤδη ἐόντι πελιδνὰ ἐκθύῃ, θανάσιμον. Ἐπὴν φάρμακόν τις πιὼν [12]ὑπέρινος ᾖ [13]καὶ κάτω καὶ ἄνω ὑπεχχωρέῃ, οἶνον καταῤῥοφεῖν τὸ μὲν πρῶτον κεκρημένον, ἔπειτα ἄκρητον θαμινὰ δι-

[1] Ἀῤῥὴν (sic) E. – νουσήματος Lind. – ἐρρυηκὸς C. — [2] δ' AC. — [3] κεφαλὴ κατηγυρία (sic)· πῶς δεῖ ἰᾶσθαι κεφαλὴν κλασθεῖσαν in tit. pro κεφ. κατ. A. – κατάγια (sic) pro κατάγματα C. – κεφ. κατάγματα om. Ald. – μὴ pro μὲν A. – χρὴ om. A. – τοῦτο C. — [4] ὁ ἰχὼρ A. – ἐσιὼν C, Ald. – εἰσιὼν vulg. – μὲν ἐξιὼν ἐσιὼν δ' οὔ A. – μὲν om. C. – οὐ E, Ald. — [5] εὐρέος (al. manu εὐρέως) διατρηθέντος A. – εὐρέος vulg. — [6] ἑωυτῷ A. — [7] τὰ A. – τὰ om. vulg. — [8] τῶν τρωμάτων pro τρ. AC. – θαν. τρώματα om. Ald. – ᾧ AC. – ὧν vulg. – ἄρ pro ἂν C. – ἀνεμέσῃ A. — [9] ἠνιθμοῦ Ald. – ὃς ἂν ἐχόμενος A. – ὁ ἐνεχόμενος sine ἂν vulg. — [10] Ante ἐξ. addunt ἢν P′, Lind., Mack. – [ἐς] om. vulg. – ξηρὸς Mack. – καθίζῃ Lind., Mack. – καθίξει C. – καθίζει vulg. – Cette phrase ne paraît pas régulière. Aussi ai-je ajouté ἐς entre crochets; ce qui me semblait la correction la plus simple, ἐς ayant pu être omis à cause de la finale de ἐξαπίνης. — [11] ἐκρυῶσιν (sic) C. – νουσήματος Lind. — [12] ὑπερνοσῇ vulg. – ὑπέρινος, mut. al. manu in ὑπὸ ῥινὸς ᾗ A. – C'est la bonne leçon; ὑπερνοσῇ est un mauvais essai de correction pour un mot peu connu.

31. (*Les maladies doivent être attaquées dans leur origine.*) Les maladies doivent être attaquées dans leur origine : si elles proviennent des fluxions, on interrompra les fluxions d'abord; si elles proviennent d'autre chose, on détruira l'origine du mal, et on traitera; puis, l'humeur qui a flué, si elle est abondante, on l'évacuera; si elle est peu abondante, on la dissipera par le régime.

32. (*Fracture du crâne.*) Fracture du crâne : si l'os est largement brisé, il n'y a pas de danger (*voy.* des Plaies de tête, t. III, § 17) ; on traitera ce cas par les médicaments humectants. S'il est fracturé de manière à produire une fêlure, le danger est grand (*ib.*, t. III, § 4); on trépanera, afin que l'ichor ne vienne pas, coulant à la fêlure de l'os, corrompre la méninge. Car l'humeur, vû l'étroitesse de la fissure, entre mais ne sort pas, et dès lors cause douleur et délire. Un tel malade doit être trépané et trépané largement, afin qu'il y ait issue et non pas entrée seulement pour l'ichor. On emploiera les médicaments qui attirent à eux l'humide, et on baignera.

33. (*Diverses remarques sur les errhins, sur les blessures, et sur le pronostic. Traitement de la superpurgation artificielle et spontanée. Du sang et du phlegme.*) Chez un fébricitant ne purgez pas la tête, afin de ne pas provoquer le délire; car les médicaments qui purgent la tête (*errhins*) sont échauffants; et la chaleur du médicament s'ajoutant à la chaleur de la fièvre fait délirer. Blessures mortelles : Dans toute blessure de mauvaise nature, le blessé, s'il vomit de la bile noire, succombe (Aph. IV, 23). Tout malade qui, pris d'évacuation, étant affaibli et maigre, devient sec soudainement, meurt. Un malade affecté de chaleur fébrile, étant faible, chez qui surviennent de petits ulcères livides tout autour, succombe. Quand sur un homme affecté d'une maladie quelconque et étant déjà faible il y a une éruption livide, le cas est mor-

Ὑπέρινος est dans le Gl. de Galien; et c'est ici qu'il faut rapporter cette glose. —[13] καὶ om. A. – καταρροφῆν A.

δόναι, καὶ παύεται. [1]Φάρμακον δὲ μήτ' ἰνηθμῷ μήτ' ἐμετήριον, χολὴ δ', ἐπὴν αὐτομάτη ῥαγῇ ἢ κάτω ἢ ἄνω, χαλεπωτέρα παύειν· ἡ γὰρ αὐτομάτη ὑπὸ βίης [2]γινομένης τῷ σώματι βιᾶται· ἢν δ' ὑπὸ φαρμάκου ῥέῃ, οὐχ ὑπὸ συγγενέος βιᾶται· ἐπὴν παραλάβῃς [3]ἰνώμενόν τε καὶ ἐμεῦντα, μὴ παύειν τὸν ἔμετον· ὁ γὰρ ἔμετος τὸν ἰνηθμὸν παύει· ῥᾴων δὲ ὁ ἔμετος ὕστερον παύσαιτο [4]ἄν· ἢν [5]δ' ἀσθενὴς ᾖ ὁ ταῦτα πάσχων, ὕπνου φάρμακον ἐμετηρίσας διδόναι. Τὸ μὲν αἷμα ὁπόταν νοῦσον ποιέῃ, ὀδύνην παρέχει, τὸ δὲ φλέγμα βάρος, ὡς τὰ πολλά.

34. Τῶν [6]νοσημάτων ὧν μὴ ἐπίστηταί τις, φάρμακον πίσαι μὴ ἰσχυρόν· ἢν δὲ ῥᾴων γένηται, δέδεικται ὁδὸς, εὐτρεπιστέον ἐστὶν ἰσχνήναντα· ἢν δὲ μὴ [7]ῥᾴων ᾖ, ἀλλὰ χαλεπώτερον ἔχῃ, τἀναντία. Ἢν μὴ ἰσχναίνειν ξυμφέρῃ, φλεγμαίνειν συνοίσει καὶ θαμινὰ [8]μεταλλάσσειν, ταύτῃ τῇ γνώμῃ χρώμενος. Τῶν δὲ νοσημάτων ἥν τις, ἰσχύοντος μὲν τοῦ ἀλγέοντος, [9]παραλήψηται, τοῦ δὲ νοσήματος ἀσθενέος, ἐνταῦθα μὲν ἰσχυροτέρῳ θαρσεῦντα τῷ φαρμάκῳ τοῦ νοσήματος χρῆσθαι, ὥστε καὶ ἥν [10]τι τοῦ ὑγιαίνοντος ᾖ ἀπάγειν σὺν τῷ ἀσθενέοντι, οὐδεμία βλάβη ἐστίν· ἐπὴν δὲ τὸ [11]μὲν νόσημα ἰσχυρότερον, τὸν δὲ νοσέοντα ἀσθενέα λάβῃς, ἀσθενέσι τοῖσι φαρμάκοισιν εὐτρεπίζειν, ἅσσα αὐτοῦ τοῦ νοσήματος περιέσονται καὶ ἀπάξουσιν, ἀσθενέστερον δὲ μηδὲν ποιήσουσι τὸν ἀλγέοντα.

35. Γυμναστικὴ δὲ καὶ ἰητρικὴ [12]ὑπεναντία πέφυκεν, ἡ μὲν γὰρ γυμναστικὴ οὐ δεῖται μεταλλαγὰς ποιέειν, ἀλλ' [13]ἡ ἰητρική· τῷ μὲν

[1] Φάρμακα δὲ μήτε A. – εἰνηθμῶ C. – ἰνηθμῶν vulg. – La construction est embarrassée; mais le sens est clair : l'auteur veut dire que, si le patient n'a pris ni purgatif ni vomitif, mais que la bile se mette en mouvement d'elle-même, cela est plus difficile à arrêter. – ἢ ἄνω ἢ κάτω A. — [2] γεν. A. — [3] ἰνώμενον (A, al. manu οἰνώμενον) K', Lind., Mack. – οἰνόμενον C. – οἰνώμενον vulg. – ἠνιθμὸν C, Ald. – ῥαίων vulg. – ῥᾴων Lind., Mack, Kühn. – ῥέων C. – πυρετὸς pro ἔμετος A. — [4] ἂν A. – ἂν om. vulg. — [5] δ' ἂν vulg. – ἂν om. AC. – ποιέῃ AC. – ποιέει vulg. – βάρος om. C. — [6] νουσ. ubique Lind. – ὧν om. C. – πεῖσαι A. – ἰσχνήναντα A. – ἰσχνάναντα vulg. — [7] ῥαῖον vulg. – ῥᾷον Mack, Kühn. – ῥᾴων C, Lind. – ἔχει A. – συμφέρει A. — [8] μεταλάσσον, al. manu μεταλάσσων A. – δὲ om. A. — [9] παραλλάξεται vulg. – παραλάξηται A. – παραλλάξηται C. – Je pense qu'il faut lire παραλήψηται. Voyez plus loin ἀσθενέα λάβῃς. – ἰσχυρωτέρω C. — [10] τινα A. – ἢν (ἣν om. K'; ἦν Lind., Mack, Kühn) ἀπάγειν vulg. – ᾖ ἀπάγειν A. — [11] μὲν AC. – μὲν om. vulg. – εὐπρεπίζειν, ὅσα C. – καὶ ἀπάξουσιν om. C. — [12] ὑπέφυκεν (sic) ὑπεναντία A. — [13] ἡ om., restit. al. manu A.

tel (Coa. 66). Quand, après l'administration d'un évacuant, il y a superpurgation et évacuations par haut et par bas, il faut faire boire fréquemment du vin d'abord coupé, ensuite pur ; ce qui arrête les évacuations. Si le patient n'a pris ni purgatif ni vomitif, et que la bile fasse éruption spontanément par haut et par bas, cela s'arrête plus difficilement ; en effet la bile spontanée est expulsée par une violence née dans le corps ; mais la bile qu'un médicament fait fluer, est expulsée par une violence hétérogène. Quand vous avez un malade qui va par haut et par bas, n'arrêtez pas le vomissement ; en effet le vomissement arrête l'évacuation alvine ; et plus tard vous aurez moins de peine à arrêter le vomissement ; mais si le patient qui éprouve ces accidents est faible, vous donnerez, après un vomitif, un médicament soporatif. Il est ordinaire que, si le sang produit la maladie, il cause de la douleur, et que, si c'est le phlegme, il cause de la pesanteur.

34. (*Règle à suivre quand on ne connaît pas une maladie ; quand le malade est fort ou faible.*) Quand on a affaire à une maladie qu'on ne connaît pas, il faut faire boire un évacuant qui ne soit pas énergique ; si l'état s'améliore, la voie est indiquée, il faut insister sur l'atténuation ; mais si, loin de s'améliorer, l'état empire, c'est le contraire ; s'il ne convient pas d'atténuer, il conviendra de rendre phlegmatique (*c'est-à-dire plein de sucs,* voy. p. 290, note 15), et de varier fréquemment, se fondant sur une telle pensée. Si l'on prend un malade pendant qu'il est fort et la maladie faible, il est loisible d'user avec hardiesse d'un médicament plus fort que le mal, de sorte que, s'il arrive d'entraîner avec l'humeur peccante quelque partie d'humeur saine, il n'en résultera aucun dommage ; mais si vous intervenez quand la maladie est plus forte et le malade plus faible, vous aurez recours aux médicaments faibles qui triompheront de la maladie même et l'expulseront sans affaiblir en rien le patient.

35. (*Gymnastique et médecine.*) La gymnastique et la médecine sont de nature contraire : la gymnastique n'a pas be-

γὰρ ὑγιαίνοντι οὐκ ἀρήγει ἐκ τοῦ παρεόντος [1]μεταλλάσσειν, τῷ δὲ ἀλγέοντι.

36. Τῶν δὲ νοσημάτων ἅσσα μὲν ἕλκεα ἐόντα ὑπερέχοντα τοῦ ἄλλου σώματός εἰσιν, ἅμα τοῖσι φαρμάκοισι καὶ λιμῷ [2]χρὴ ἰῆσθαι.

37. Ῥόου ξυμφέρον ἐκ κεφαλῆς ῥέοντος, ἔμετος.

38. Τὰ παλαιὰ νοσήματα χαλεπώτερον ἰᾶσθαι τῶν νέων· ἀλλὰ [3]νοσήματα τὰ παλαιὰ νέα πρῶτον ποιέειν· ἕλκος [4]πεπωρωμένον, ἐκβάλλοντα τὸ σκληρὸν σηπτηρίῳ φαρμάκῳ, ἔπειτα συνάγειν. Τῶν φαρμάκων ὅσα [5]φλεγμαίνειν ποιέει μάλιστα, ταῦτα συνάγουσι τὰ καθαρά· [6]τὰ δ' ἰσχναίνοντα, ταῦτα [7]δὲ καθαίρουσιν. Ἢν δέ τις συνάγῃ τὰ μήπω ὡραῖα ἐόντα, τὸ νοσέον τρέφει σῶμα ὃ ἂν ἕλκος ἔχῃ· καὶ ἢν μὲν συνάγειν δέῃ τὸ ἕλκος καὶ [8]ἐμπλῆσαι, φλεγμαίνειν ἀρήγει, καὶ ἢν ἐν κεφαλῇ σάρκα βούλῃ· ἐπαναφερομένη γὰρ ἡ σὰρξ ὑπὸ τῶν σιτίων ὠθέει τὴν ὑπὸ τοῦ φαρμάκου σηπομένην [9]καὶ ξυμμαχεῖ· ἢν δὲ μετέωρον ᾖ λίην, ἰσχναίνειν τοῖσι σιτίοισι.

39. Τοὺς ἀνιωμένους καὶ νοσέοντας καὶ ἀπάγχεσθαι βουλομένους, μανδραγόρου ῥίζαν [10]πρωῒ πιπίσκειν ἔλασσον ἢ ὡς μαίνεσθαι. [11]Σπασμὸν ὧδε χρὴ ἰᾶσθαι· πῦρ παρακαίειν ἑκατέρωθεν τῆς κλίνης, καὶ μανδραγόρου ῥίζαν πιπίσκειν ἔλασσον ἢ ὡς μαίνεσθαι, καὶ πρὸς τοὺς [12]τένοντας τοὺς ὀπισθίους σακκία προστιθέναι θερμά. Ἀπὸ σπασμοῦ πυρετὸς ἢν ἐπιλάβῃ, παύεται αὐθημερὸν ἢ τῇ ὑστεραίῃ ἢ τῇ τρίτῃ

[1] Μεταλάσσειν A. – δ' AC. — [2] χρῆσθαι pro χρὴ ἰῆσθαι A. — [3] Post ἀλλὰ addit τὰ A. — [4] πεπονημένον C. — [5] φλεγμαίνει ἢ pro φλ. A. – ποιέουσι Lind., Mack. — [6] τὰ δ' ἰσχναίνοντα A. – τὰ διισχναίνοντα vulg. — [7] δὲ om. K', Lind., Mack. – δὲ doit être pris dans le sens de δή; ce qui est loin d'être rare dans la Collection Hippocratique. Comparez, par exemple, t. IV, p. 262, note 8; ib., p. 257, note 17; ib., p. 252, note 7; ib., p. 246, note 20; ib., p. 178, note 1; ib., p. 114, note 26. Des exemples aussi nombreux, et ce ne sont pas les seuls, ne laissent pas de doute. – τρέφῃ A. — [8] ἐκπλῆσαι A. – ἐπαναφερομένη A. – ἐπανατρεφομένη vulg. – La leçon de vulg. est certainement acceptable; cependant celle de A me semble plus naturelle. Dans les dictionnaires on ne cite pas pour ἐπανατρέφω d'autre autorité qu'Hippocrate, et sans doute ce passage même. — [9] καὶ τῇ φύσει ξυμμαχεῖ Lind., Mack, ex Fabio Calvo, ut videtur. – Une telle addition, fort mal autorisée comme on voit, est, de plus, sans utilité. – τὴν δὲ μετέωρον ἢ λείην vulg. – ἢν δὲ μετέωρον ᾖ λείην A. – La leçon de A me paraît bonne, sauf λείην pour λίην. Avec μετέωρον on sous-entend τὸ ἕλκος. Quant à λίην pour λείην, ce n'est qu'une affaire d'iotacisme. – ἀπέγχεσθαι E. — [10] πρωπιπίσκειν (sic) pro πρωῒ πιπίσκειν A. — [11] ἴασις σπασμοῦ in tit. A. — [12] ταίνοντας C. – ἀπὸ σπασμοῦ πυρετὸς om. A. – παύσεται C.

soin de procurer des changements, mais la médecine en a besoin. A l'homme sain il ne convient pas de changer la condition présente, mais cela convient à l'homme malade.

36. (*Des ulcères.*) Parmi les maladies, celles qui, étant des ulcères, font saillie au-dessus de la surface du corps, doivent être traitées à la fois par les médicaments et par la faim.

37. (*Fluxion venant de la tête.*) Ce qui convient pour une fluxion venant de la tête, c'est le vomissement.

38. (*Renouveler les maladies anciennes. Traitement des plaies.*) Les maladies anciennes sont plus difficiles à guérir que les nouvelles; aussi faut-il préalablement renouveler les maladies anciennes, c'est ainsi que dans un ulcère calleux on détruit à l'aide d'un médicament corrosif la partie endurcie, puis on réunit. Parmi les médicaments, ceux qui rendent phlegmatique (*plein de suc*) réunissent les plaies mondifiées; ceux qui atténuent mondifient. Réunir des plaies qui ne sont pas encore à point, c'est nourrir la plaie qui est dans le corps. S'il faut réunir une plaie et la remplir, il convient de rendre phlegmatique (*plein de suc*); cela s'applique aussi aux chairs de la tête; car, là, les chairs soulevées par les aliments poussent la chair corrodée par les médicaments et servent d'auxiliaire. Mais si la plaie est boursoufflée, il faut atténuer par l'alimentation.

39. (*Traitement de la mélancolie avec penchant au suicide; du spasme. Fièvre et spasme. Contraction des pieds et des mains.*) Aux gens tristes, malades et qui veulent s'étrangler, faites prendre le matin en boisson la racine de mandragore à une dose moindre qu'il ne faudrait pour causer le délire. On traitera ainsi le spasme : allumer du feu des deux côtés du lit, faire prendre en boisson la racine de mandragore à une dose moindre qu'il ne faudrait pour causer le délire, et appliquer aux tendons de la partie postérieure des sachets chauds. La fièvre qui naît du spasme cesse le même jour ou le lendemain ou le surlendemain (Aph. IV, 57; *comp.* Coa. 152

ἡμέρῃ. Ἀπὸ ῥήγματος πυρετὸς οὐ λάζεται πλεῖον ἢ τρεῖς ἢ τέσσαρας ἡμέρας· ἢν δὲ λάζηται, οἰόμενος ἀπὸ ῥήγματος ἔχειν, ἀπ' ἄλλου τινὸς λάζοιτο ἄν, καὶ οὐ χρὴ ὡς ἂν ἀπὸ ῥήγματος εὐτρεπίζειν. Ὁπόταν ἄνθρωπος [1]συντεταμένος ᾖ τοὺς πόδας καὶ τὰς χεῖρας, μανίην ἑωυτῷ ποιέει.

40. Φλέβα δὲ ὧδε χρὴ καίειν ἐπιτήδειον, [2]ὥστε τὸ νόσημα ὃ ἂν καὶ ᾖ νοσέων· [3]ἢν κεκαυμένος ᾖ ὥνθρωπος, ῥέῃ δέ τι τοῦ αἵματος, ὡς μὴ ἐπικίνδυνον ᾖ [4]τοῦτο αὐτῷ, ἀμφότερα ταῦτ' ἐστὶ ποιέειν· ἢν [μὴ] διακαύσῃς, ταύτῃ ἐν τῷ πόνῳ, οὗ εἵνεκα ἐκαίετο, οὐ ξυμφύεται, ὠφέλησε δὲ τῷ ῥόῳ· ἢν γὰρ διακαῇ, οὐ [5]ῥέει· ἐπὴν γὰρ διακαῇ, τὸ ἄκρον ἑκάτερον ἀνατρέχει τῆς φλεβὸς, [6]ᾗ διεκάη, καὶ συναυαίνεται· [7]ἢν δὲ καταλελειμμένον ᾖ, ὑπὸ τοῦ καταλελειμμένου, διαῤῥέοντος τοῦ [8]αἵματος, ὑγραίνεται· ἢν δὲ αἷμα ῥέῃ ἐκ φλεβὸς, διακαίειν ἐπικαρσίην· ἢν δὲ μὴ παύηται πρὸς ταῦτα, ἄνω καὶ κάτω ἑκατέρωθεν [9]διατάμνειν, ὡς ἀποτρεφθῇ τὸ αἷμα ῥέον· διαλελαμμένον γὰρ φαρμάκῳ ῥᾷον παύειν ἢ τὸ ἀθρόον. Ὀδύνης [10]ἐν κεφαλῇ τοῦ αἵματος ἀφαιρέειν ἀπὸ τῶν φλεβῶν· ἢν δὲ μὴ παύηται, ἀλλὰ πολυχρόνιον ᾖ, διάκαιε τὰς φλέβας, καὶ ὑγιὴς γίνεται· ἢν δὲ κεφαλὴν καθήρῃς, μᾶλλον πονέεις.

41. Ἰητρικὴν οὐ δυνατόν ἐστι [11]ταχὺ μαθεῖν διὰ τόδε, ὅτι ἀδύνατόν ἐστι καθεστηκός [12]τι ἐν αὐτῇ σόφισμα γενέσθαι, οἷον ὁ τὸ γράφειν ἕνα τρόπον μαθὼν ὃν διδάσκουσι, πάντα ἐπίσταται· καὶ οἱ ἐπιστάμενοι πάντες ὁμοίως διὰ [13]τόδε, ὅτι τὸ αὐτὸ καὶ ὁμοίως ποιεύμενον νῦν τε καὶ οὐ νῦν [14]οὐχ ἂν τὸ ὑπεναντίον γένοιτο, ἀλλ' αἰεὶ ἐνδυχέως

[1] Συντετραμμένος C. — [2] Cet ὥστε est fort obscur. – καίῃς pro καὶ ᾖ, sine νοσέων A. — [3] ἐπὴν A. – ὥνθρωπος A. – ἄνθρωπος vulg. – δὲ τὸ τοῦ vulg. – δὲ ἐπὶ τοῦ A. – δέ τι τοῦ C, Lind., Mack. — [4] τῶδε, mutat. in τόδε A. – [καὶ] ἀμφότερα Lind. – ποιέειν· ἢν διακαύσῃς ταύτῃ om. A. – J'ai ajouté μὴ entre crochets; la phrase, en soi très-obscure, me paraît tout à fait inintelligible sans cette négation. – ταύτην K'. – ἕνεκα C. — [5] ῥέῃ A. – ῥεῖ C. — [6] ᾗ διακαῇ vulg. – ᾗ διεκάη A. — [7] ἢν δέ τι K', Mack. — [8] αἵματος A. – ῥεύματος vulg. – αἷμα ῥέῃ om. C. – δ' αἷμα ῥέῃ A. – ῥέει vulg. — [9] διατέμνειν C. – διαλελαμμένον AC, Ald. – διαλελημμένον vulg. – διαλελυμένον E. – ῥᾷον Kühn. – ῥαῖον vulg. – ῥέον C. – ἢ om. C. – ἄρθρον pro ἀθρόον C. — [10] ἐν τῇ κ. Mack. – καθήρῃς A. – καθάρῃς vulg. – πονέειν A. – πονέει Lind. — [11] ταχὺ om. C. — [12] τι om. C. — [13] τόδ' ἐστὶ pro τόδε ὅτι A. — [14] οὐ καὶ pro οὐχ ἂν A. – αἰεὶ AE, Lind., Mack. – ἀεὶ vulg. – ἐνδικέως vulg. – ἐνδυκαίως A. – ἐνδυχέως C, Ald., Lind., Mack. – καὶ ῥοῦ pro καιροῦ A.

et 153). La fièvre qui naît d'une rupture (*voy.* Coa., Argum., § 3, t. V, p. 579) n'attaque pas plus de trois ou quatre jours; si, supposée provenir d'une rupture, elle se prolonge davantage, c'est qu'elle provient d'autre chose, et il ne faut pas la traiter comme ayant cette cause. Un patient qui a les pieds et les mains contractées, se met lui-même dans le délire (*compar.* Pron., § 3, et Coa. 487).

40. (*Cautérisation des veines.*) Il faut cautériser ainsi la veine qui convient suivant la maladie dont le patient est affecté (*comp. pour la cautérisation des veines le livre* De la Vue); si, après la cautérisation, du sang s'écoule, il faut, afin que cela ne soit pas dangereux, faire ces deux choses : si la cautérisation ne traverse pas, la veine ne se ferme pas là, dans le lieu de la douleur pour laquelle on l'a brûlée, mais elle rend service par l'écoulement qu'elle fournit. Au contraire, si la cautérisation traverse, il n'y a pas d'écoulement. En effet, la cautérisation étant traversante, les deux bouts de la veine qui a été brûlée se rétractent et se sèchent; mais s'il reste un pont, ce pont procure l'écoulement du sang et mouille. Quand du sang est versé par la veine, il faut la traverser obliquement par la cautérisation; ce moyen est-il insuffisant? on la tranchera en haut et en bas de chaque côté, afin que le sang qui coule soit détourné; en effet il est plus aisé d'arrêter par un médicament le sang coulant divisé que coulant à plein. Pour la douleur dans la tête vous tirerez du sang par les veines; si la douleur ne cède pas et dure depuis longtemps, cautérisez les veines, et la santé se rétablit; si au contraire vous purgez la tête (*par les errhins*), la souffrance augmente.

41. (*Difficulté de la médecine, à cause que les mêmes effets peuvent être produits par les contraires.*) Il n'est pas possible d'apprendre vite la médecine; la raison, c'est qu'aucune doctrine ne peut y devenir fixe comme dans le reste; par exemple celui qui apprend à lire par une méthode, celle qu'on enseigne, sait tout; et ceux qui savent, savent tous de la

ὅμοιόν ἐστι, καὶ οὐ δεῖ καιροῦ. Ἡ δὲ ἰητρικὴ νῦν τε καὶ αὐτίκα οὐ [1]τὸ αὐτὸ ποιέει, καὶ πρὸς τὸν αὐτὸν ὑπεναντία ποιέει, καὶ ταῦτα ὑπεναντία σφίσιν ἑωυτοῖσιν· πρῶτον [2]ὑπεχώρησιν κοιλίης τὰ ὑπεχωρητικὰ οὐχ αἰεὶ ποιέουσι, καὶ τὰ ὑπεχωρητικὰ ἀμφότερα ποιέουσι, τάχα δὲ οὐδ' οὕτως ἔχουσι τὰ ὑπεχωρητικὰ τοῖσι στασίμοις ὡς ὑπεναντία. [3]Ἐπιστάσης τῆς κοιλίης, διὰ τὴν λίην στάσιν φλεγμῆναν τὸ σῶμα, ἐς τὴν κοιλίην φλέγματος ἀφικομένου, οὕτως ἡ στάσις [4]ὑπεχώρησιν ἐποίησεν· ἐπὴν γὰρ τὸ φλέγμα ἐς τὴν κοιλίην ἐσέλθῃ, ἰνηθμὸς γίνεται· ἐν τουτέῳ δὲ τὰ ὑπεχωρητικὰ φύσει [5]στάσιν ποιέουσιν ἐν τῇ κοιλίῃ· ἢν μὲν [μὴ] ὑπεχωρητικὰ προσφέρῃς, ἐκλύηται δὲ τὸ νοσεῖν ποιέον καὶ ὑγραίνηται, ἐπὴν ἐκκλυσθῇ, γίνεται ὑγιής· καὶ οὕτω τά τε στάσιμα [6]τοῖσιν ὑπεχωρητικοῖσι ταὐτὸ ποιέουσι τῆς κοιλίης, καὶ τοῖσι στασίμοισι τὰ ὑπεχωρητικά. [7]Τὸν αὐτὸν δὲ τρόπον καὶ τοὺς ἐρυθροὺς καὶ τοὺς χλωρούς· [8]καὶ τὰ φλεγματώδεα χλωροὺς ποιέει καὶ ἀχρόους, καὶ τὰ [9]ἰσχναίνοντα εὐχρόους· ἑκατέρου δ' ἐστὶ φάρμακον τὰ ὑπεναντία τῷ ὑπεναντίῳ· αὐτίκα ὅταν φλεγμαίνῃ χλωρὸς ἐών, ἐκλύεται, [10]ἤν τι ἰσχναίνῃ φάρμακον προσενεχθέν· ἐνθάδε τῷ φλεγμαίνοντι τὸ ἰσχναῖνον ὠφέλησεν· τούτων δὲ τό ποτε ὠφελεύμενον τῷ ὠφελεῦντι νῦν ὠφελεῖ [11]ἐνταῦθα, ὁπόταν ὑπὸ ἰσχνότητος ἄχροος καὶ χλωρὸς ᾖ· ἢν γάρ τις φλεγματῶδες προσφέρῃ, παύεται τὸ χλωρόν.

[1] Τοῦτο pro τὸ αὐτὸ A. – ποιέει.... ὑπεναντία om. C. — [2] ὑπεχώρησιν κοιλίης A. – ὑπεχ. κοιλίης om. vulg. – τὰ A, Lind. – τὰ om. vulg. – οὐχ.... ἔχουσι τὰ ὑπεχωρητικὰ om. A. – αἰεὶ E. – ἀεὶ vulg. – οὐκ ἀεὶ [τοῦτο] ποιέουσιν, [ἀλλὰ ἵστασι], καὶ τὰ ὑπ. Lind. – στασίμοισι Lind., Mack. — [3] ἐπίστασις Ald. – φλεγμηνᾶν (sic) E. — [4] ἐπεχώρησιν A. – ἐπέλθῃ C. – ἐνισμὸς C. – τοῦτο pro ἐν τουτέῳ K'. – τουτέω A. – τούτῳ vulg. — [5] στάσιν A. – στάσιμον vulg. – ἢν καὶ μὴ Zwing. – La correction de Zwing. est suggérée par le sentiment de l'obscurité du texte de vulg.; mais je ne crois pas que ce soit la vraie correction. Le sens du contexte conduit directement à la suppression de μή. Il arrive souvent que μὴ est indûment introduit dans un texte à la suite de μέν. J'ai mis ce μὴ entre crochets. Voy. plus loin, note 10, un autre μὴ également superflu. – ὑπεχωρεητικὰ C. – προσφέρῃς A. – ποιέῃς vulg. – ἐκλύεται A. – ὑγραίνηται ACE. – ὑγραίνεται vulg. – ἐκλυθῇ Mack. — [6] τοῖς A. – στάσιν pro ταὐτὸ vulg. – Le sens me paraît conduire irrésistiblement à substituer ταὐτὸ à στάσιν. — [7] Ante τὸν addit καὶ A. — [8] καὶ om. A. — [9] ἰσχναίνοντα A. – ἰσχναινόμενα vulg. – εὐχρόους om. K'. – ὑπεναντία τῷ om. C. – χολὸς pro χλωρὸς A. — [10] ἤν μή τι vulg. – μή om. Lind., Mack. – Cette correction, due à Cornarius, est évidente. – ἰσχνήνῃ A. – ἰσχναίῃ

même façon; en effet la même chose faite semblablement aujourd'hui et autrefois ne se change pas en contraire, mais elle est toujours homogène et n'a pas besoin d'opportunité. Au lieu que la médecine ne fait pas toujours la même chose à cet instant et l'instant d'après, et elle agit d'une façon opposée à elle-même chez le même individu, et ces actions sont elles-mêmes opposées l'une à l'autre. D'abord les purgatifs ne procurent pas toujours la purgation du ventre, et les purgatifs ont la double action; bien plus, même à cet égard, les purgatifs ne se comportent pas vis-à-vis les astringents comme contraires. Le ventre se resserre, ce resserrement excessif échauffe le corps, et du phlegme arrive dans le ventre: de cette façon le resserrement produit l'évacuation. En effet, le phlegme étant parvenu dans le ventre, il s'opère une purgation. Ici les substances naturellement purgatives procurent le resserrement : si vous administrez des purgatifs, et que ce qui fait la maladie se résolve et s'humecte, la santé, après ce lavage, se rétablit; en sorte que les resserrants exercent la même action que les évacuants, et les évacuants que les resserrants. Il en est de même pour les personnes rouges et les personnes jaunes; les substances phlegmatiques (*c'est-à-dire fournissant des sucs*, voy. p. 290, note 15) rendent jaunes et de mauvais teint, aussi bien que les substances atténuantes donnent bon teint. Dans chaque cas le remède est le contraire opposé au contraire : par exemple, lorsqu'il y a phlegmasie (*abondance de sucs*) chez un sujet jaune, on la résout en administrant quelque remède atténuant. Ici l'atténuant a remédié au phlegmatique (*c'est-à-dire à ce qui donne des sucs*). Mais, à son tour, le secouru secourt le secourant quand le sujet est jaune et de mauvais teint par atténuation; si en effet on administre alors un médicament phlegmatique (*qui donne des sucs*), la teinte jaune disparaît.

Ald.— [11] ἔνθα C.–ὅταν A.–ἀθρόος pro ἄχροος A.–καὶ χλωρὸς om. EP'.–τις om. A.

42. [1]Ὀδύνη τε γίνεται καὶ διὰ τὸ ψυχρὸν καὶ διὰ τὸ θερμὸν, καὶ διὰ τὸ πλέον λίην καὶ διὰ τὸ ἔλασσον· [2]καὶ ἐν μὲν τοῖσιν ἐψυγμένοισι τοῦ σώματος διὰ τὸ θερμαῖνον, ἐν δὲ τοῖσι τεθερμασμένοισι διὰ τὸ ψυχραῖνον ὀδύνη γίνεται· καὶ ἐν μὲν τοῖσι ψυχροῖσι φύσει διὰ τὸ θερμὸν, ἐν δὲ τοῖσι θερμοῖσι φύσει διὰ τὸ ψυχρόν· καὶ ἐν μὲν τοῖσι ξηροῖσι [3]φύσει ὑγραινομένοισιν, ἐν δὲ [4]τοῖσιν ὑγροῖσι φύσει ξηραινομένοισι· τὴν γὰρ φύσιν διαλλασσομένοις ἑκάστοισι καὶ διαφθειρομένοις αἱ ὀδύναι γίνονται· ὑγιαίνονταί τε [5]αἱ ὀδύναι τοῖσιν ὑπεναντίοισιν· ἴδιον ἑκάστῳ νοσήματί ἐστι· τοῖσι θερμοῖσι φύσει, [6]διὰ δὲ τὸ ψυχρὸν νοσέουσι, θερμαῖνόν τε καὶ τἄλλα τούτων κατὰ λόγον. Ἄλλος [7]ὅδε τρόπος· διὰ τὰ ὅμοια νοῦσος γίνεται, καὶ διὰ τὰ ὅμοια προσφερόμενα ἐκ νοσεύντων ὑγιαίνονται· οἷον στραγγουρίην τὸ αὐτὸ ποιέει οὐκ ἐοῦσαν, καὶ ἐοῦσαν τὸ αὐτὸ παύει· καὶ βὴξ κατὰ τὸ αὐτὸ, ὥσπερ καὶ στραγγουρίη, ὑπὸ τῶν αὐτῶν γίνεται καὶ παύεται. Ἄλλος ὅδε τρόπος· πυρετὸς ὁ διὰ φλεγμασίην γινόμενος, [8]τοτὲ μὲν ὑπὸ τῶν αὐτῶν γίνεται καὶ παύεται, τοτὲ δὲ τοῖσιν ὑπεναντίοισιν [9]ἢ ἐγένετο· τοῦτο μὲν γὰρ εἴ τις βούλεται λούειν ὕδατι θερμῷ καὶ ποτὰ πολλὰ διδόναι, ὑγιὴς γίνεται [10]διὰ τὸ φλεγμαῖνον, τοῖσι φλεγμαίνειν ποιέουσι προσφερομένοισιν ὁ ὢν πυρετὸς γίνεται ὑγιής· καὶ εἴ τις βούλεται φάρμακον πίσαι ὑποχωρητικὸν [11]καὶ ἐμετικὸν, τὸν αὐτὸν τρόπον τοῖσί

[1] In marg. πῶς γίννεται (sic) ὀδύνη A. – γίνεται A, Mack. – γίγνεται Lind. – γένηται vulg. – καὶ διὰ τὸ θ., καὶ διὰ τὸ ψ. Gal. in cit. De plac. Hipp. et Plat. VII. – καὶ διὰ τὸ θ. om. A. – πλεῖον λίειν A. – λίην om. Gal. ib. – ἔλαττον Gal. ib. — [2] καὶ ἐν μὲν τοῖσιν ἐψ. (ἐψηγμένοισι C) φύσει τοῖσιν ἐκ τοῦ σώματος πρὸς τὸ δέρμα διὰ τὸ θερμαινόμενον (θερμαῖνον C) λίην ὀδύνη γίνεται· ἐν δὲ τοῖσι θερμοῖσι διὰ τὸ ψυχρὸν vulg. – καὶ ἐν μὲν τοῖσι ψυχροῖσι φύσει καὶ ἐν τοῖσι λίην ἐψυγμένοισιν ἐκτὸς τοῦ σώματος πρὸς τὸ δέρμα διὰ τὸ θερμὸν ὀδύνη γίνεται· ἐν δὲ τοῖσι θερμοῖσι φύσει καὶ τοῖσι τεθερμασμένοισι διὰ τὸ ψυχρὸν Lind. – καὶ ἐν μὲν τοῖσιν ἐψυγμένοισι τοῦ σώματος διὰ τὸ θερμὸν μὲν, ἐν δὲ τοῖσι τεθερμασμένοισι διὰ τὸ ψυχρὸν ὀδύναι γίγνονται Gal. ib. – Au fond la correction de Lind. est bonne; mais elle doit être faite d'une façon plus simple et à laquelle conduit directement le balancement des membres de phrase; règle si sûre pour rectifier un texte. Il faut aussi s'aider de la citation de Galien. Quant à ψυχραῖνον, que j'ai introduit, il n'est, à la vérité, donné dans le Dict. de Schneider qu'avec l'autorité des glossaires; mais je le trouve employé dans la Collection hippocratique: γῆς ὑγρανθείσης καὶ ψυχρανθείσης, livre II du Περὶ Διαίτης, initio. — [3] καὶ φύσει A. – ὑγραινομένοις AC. — [4] τοῖς AC. – διαλασσομένοις A, Ald. – διαλλασσομένοισι Lind. – διαφθειρομένοισι Lind. — [5] αἱ.... θερμαῖνόν τε om. C. –

42. (*Mode de production de la douleur. Guérison par les contraires; guérison par les semblables.*) La douleur se produit et par le froid et par le chaud, et par l'excès et par le défaut. Elle se produit chez ceux qui ont éprouvé un refroidissement, par le réchauffement; chez ceux qui ont éprouvé un échauffement, par le refroidissement; elle se produit chez les personnes de constitution froide par le chaud, de constitution chaude par le froid, de constitution sèche par l'humide, de constitution humide par le sec. Car les douleurs surviennent toutes les fois qu'il y a changement et corruption de nature. Les douleurs se guérissent par les contraires; chaque maladie a ce qui lui est propre; ainsi aux constitutions chaudes devenues malades par le froid, conviennent les échauffants, et ainsi de suite. Autre procédé : la maladie est produite par les semblables; et par les semblables que l'on fait prendre, le patient revient de la maladie à la santé. Ainsi ce qui produit la strangurie qui n'est pas, enlève la strangurie qui est; la toux, comme la strangurie, est causée et enlevée par les mêmes choses. Autre procédé : la fièvre née par la phlegmasie (*abondance de sucs*) tantôt est produite et supprimée par les mêmes choses, tantôt est supprimée par le contraire de ce qui l'a produite. Ainsi, veut-on laver le sujet avec de l'eau chaude et lui donner des boissons abondantes? il est ramené à la santé par la phlegmasie (*abondance de sucs*); ce qui rend phlegmatique enlève la fièvre existante. De la même façon, veut-on

ὀδῦναι E, Ald. – [τοῦτο δὲ] ἴδιον ἑκάστῳ νουσήματί ἐστι· οἱ [δὲ] θερμοὶ φύσει διὰ τόδε τὸ ψυχρὸν νοσέουσι, [καὶ] θερμαίνονται Lind. – ἰδίω A. – νόσημά τι Kühn. —[6] διὰ τόδε τὸ ψυχρὸν vulg. – διὰ δὲ τὸ ψ. A. – θερμαίνονται vulg. – θερμαῖνόν τι quidam Codd. ap. Foes in notis, Mack. – Je lis θερμαῖνόν τε, ce qui est encore plus près du texte. —[7] ὧδε A. – νόσος A. —[8] τότε (bis) vulg. – τοτὲ (bis) Lind., Mack, Kühn. – τοῖς ὑπεναντίοις A. —[9] ἢ A. – ἢ om. vulg. – τοῦτο, al. manu τοῦτον, al. manu τούτων A. – τοτὲ pro τοῦτο vulg. —[10] καὶ διὰ Lind., Mack. – Post διὰ addit τοῦτο A. – προσφερομένοις A. – Il serait possible que τοῖσι φλεγμαίνειν.... ὑγιὴς fût une glose passée de la marge dans le texte et destinée à expliquer : ὑγιὴς γίνεται διὰ τὸ φλεγμαῖνον. —[11] καὶ ἐμ. om. C. – ποιέεται pro παύεται A. – πουλὺ Lind.

τε ποιέουσι παύεται, καὶ τοῖσι παύουσι γίνεται. Τοῦτο μὲν γὰρ εἴ τις ἐμέοντι ἀνθρώπῳ βούλεται ὕδωρ δοῦναι πιεῖν πολὺ, ἐκκλυσθήσεται δι' ἃ ἐμέει σὺν τῷ ἐμέτῳ· [1]οὕτω μὲν διὰ τὸ ἐμέειν ὁ ἔμετος παύεται· [2]ᾧ δὲ διὰ τὸ παύειν, ὅτι κάτω ποιήσει αὐτῷ ἐλθεῖν ἐξ ἐκείνου, ὃ ἐνεὸν ἔμετον ποιέει· ἀμφοτέροισι τοῖσιν ὑπεναντίοισι τρόποις ὑγιὴς γίνεται. Καὶ εἰ μὲν οὕτως εἶχε πᾶσι, [3]καθεστήκει ἄν, οὕτω τὰ μὲν τοῖς ὑπεναντίοισιν εὐτρεπίζεσθαι οἷά τέ ἐστι καὶ ἀφ' ὅτου ἐγένετο, [4]τὰ δὲ τοῖσιν ὁμοίοισιν οἷά τέ ἐστι καὶ ἀφ' ὅτου ἐγένετο.

43. Τούτου [5]δ' αἴτιόν ἐστιν ἡ τοῦ σώματος ἀσθενείη· τὸ γὰρ σῶμα ὑπὸ μὲν τῶν σιτίων ἴσων ἴσως τρέφεται, ὑπὸ δὲ τοῦ σώματος τὰ σιτία κρατέεται· ἐπὴν δὲ πλέον ἢ ἔλασσον [6]προσενέγκηται, ἢ ἀλλοίως μεταλλάξας κρατέηται, [7]κρατέει τόδε καὶ τὰ σιτία· καὶ ὁπόταν κρατέηται τὸ σῶμα ὑπὸ τῶν προσοισμάτων, [8][ἃ] θάλλειν ποιέει ταὐτὰ καὶ [9]κρατέει ἅμα τοῦ σώματος τά τε ὑπεναντία ποιέουσιν. [10]Αὐτίκα τὸ λοῦσθαι θερμῷ, ἕως μὲν ἂν τὸ σῶμα κρατέῃ τοῦ προσοίσματος, θάλλει· ἐπὴν δὲ κρατηθῇ, ἰσχνὸν ποιέει τὸ σῶμα· καὶ τὸ εὐωχέεσθαι ὁμοίως [11]τοῦ λοῦσθαι ποιέει· ταῦτα [12]μὲν γὰρ ἕως μὲν ἂν κρατέωνται, θάλλειν ποιέουσιν· ἐπὴν [13]δὲ κρατέωσιν, ὑπεχωρήσεις τε ποιέουσιν καὶ ἀλλοίας κακίας· [14]ὁπότε δὲ τὸ προσφερόμενον μεταλλάσσεται,

[1] Οὕτω A. – οὐ τὸ C. – οὐ τῶ Ald. – ωὐτῷ vulg. – καὶ οὕτω μὲν Lind. — [2] ὧν δὲ vulg. – ᾧ δὲ Foes in notis, Lind., Mack. – ὧδε AC. – ὅθεν ἐὸν pro ὃ ἐνεὸν A. — [3] καθιστήκει, al. manu θει A. – ὑπεναντίοις A. – ἐγένοντο C. — [4] τὰ.... ἐγένετο om. A. — [5] δὲ A. – Ante γὰρ addit μὲν A. — [6] προσενέγκειται, al. manu κη A. – ἢ om. A. – ἀλλοίως A. – ὡς ἄλλο pro ἀλλ. vulg. – ὡς ἀλλότως (sic) pro ἀλλ. C. – κρατέεται (κρ. om. A) vulg. – Je lis κρατέηται. – ἢ ὡς ἄλλο μεταλλάξας, κρατέεται τὸ σῶμα ὑπὸ τῶν προσοισμάτων, κρατέεται δὲ καὶ τὰ σιτία· καὶ ὁπόταν κρατέηται (τὰ σιτία K', Mack), θάλλειν ποιέει ταῦτα pro ἢ.... ταὐτὰ K', Zwing. in marg., Lind., Mack. — [7] κρατέεται δὲ καὶ τὰ σιτία vulg. – La série des idées me paraît conduire à lire, en place de la leçon de vulg., κρατέει τόδε καὶ τὰ σιτία, ou quelque chose d'analogue. — [8] Le sens de cette phrase est certain; mais il est difficile de décider quel est le meilleur remède pour le texte. Le plus grand changement que j'aie fait, c'est d'ajouter ἃ, que j'ai mis entre crochets. Quant à changer ταῦτα de vulg. en ταὐτὰ, cela est peu de chose. — [9] κραταίειν, al. manu τέ A. — [10] Dans vulg. le point est après αὐτίκα. Mais, comme on l'a fait voir (Koen. ad Greg., p. 416, ed. Schæfer), le point doit être mis avant αὐτίκα, qui signifie : *exempli gratia*. — [11] τῶ AC, Ald. — [12] μὲν om. A. – ἂν κρ. θάλλειν om. A. — [13] δὲ AC, Ald., Mack. – καὶ pro δὲ vulg. — [14] ὁπότε δὲ ὃ (ᾧ A, Foes in not., Mack.) προσφέρεται τοῦτο μεταλλάσσεται, ἀνάγκη καὶ τὸ προσφερό-

administrer un purgatif et un vomitif? la fièvre est supprimée par ce qui la produit, et produite par ce qui la supprime. Autre exemple : si, à un homme qui vomit, on donne à boire de l'eau en abondance, on le débarrasse, avec le vomissement, de ce qui le fait vomir; de la sorte, vomir enlève le vomissement. Mais si on l'arrête directement, c'est qu'on fera passer par le bas une partie de ce qui, étant dans le corps, cause le vomissement. Ainsi, de deux façons contraires, la santé se rétablit. Et s'il en était de même dans tous les cas, la chose serait entendue, et l'on traiterait tantôt par les contraires suivant la nature et l'origine de la maladie, tantôt par les semblables suivant encore la nature et l'origine de la maladie.

43. (*La cause de ces variations est la faiblesse du corps qui se laisse surmonter par les* ingesta *ou les* applicata; *dès lors il y a rupture de l'équilibre de la santé.*) La cause de ce défaut de règle est la faiblesse du corps. Le corps est nourri également par des aliments égaux; et les aliments sont surmontés par le corps. Mais quand l'ingestion est soit excessive soit insuffisante, ou quand, après tout autre changement, le corps est surmonté, la victoire demeure à cette autre influence et aux aliments. Or, dans le cas où ce qu'on administre est le plus fort, les mêmes choses qui font prospérer le corps, à la fois en triomphent et produisent un effet contraire. Par exemple, se baigner dans l'eau chaude, tant que le corps a le dessus, fait prospérer; mais, quand le corps a le dessous, fait maigrir. La bonne chère agit comme le bain : tant qu'elle a le dessous, elle fait prospérer; quand elle a le dessus, elle provoque des dérangements du ventre et autres incommodités. Quand la chose administrée change, il est nécessaire que le sujet à qui

μενον μετατρέπεσθαι vulg. – Lind., d'après la traduction de Cornarius, lit ainsi : ὁπότε γὰρ τὸ προσφερόμενον τοῦτο μεταλλάσσεται, ἀνάγκη καὶ ᾧ προσφέρεται μετατρέπεσθαι. – D'après la phrase suivante, il me semble qu'il faut adopter la correction de Cornarius, effectuée par Linden. Seulement j'ai déplacé τοῦτο et gardé δέ.

ἀνάγκη καὶ ᾧ προσφέρεται τοῦτο μετατρέπεσθαι· [1]τὸ γὰρ σῶμα μετατρεπόμενον καὶ ὀλιγοεργὲς ὂν καὶ ὑπὸ παντὸς νικώμενον τὰς παλιγκοτίας παρέχει. Τοῦτο δὲ ποιέει καὶ τὰ ὑποχωρητικὰ, καὶ τὰ θάλλειν ποιέοντα, [2]ἰσχναίνοντά τε, ταῦτα τὸ σῶμα ποιέουσι, καὶ τἄλλα πάντα [3]τὰ ὑπεναντία τούτοισι πάσχοντα.

44. Ἡ δὲ ἰητρικὴ [4]ὀλιγόκαιρός ἐστιν· καὶ ὃς τοῦτο ἐπίσταται, ἐκείνῳ καθέστηκε, καὶ ἐπίσταται τὰ [5]εἴδεα καὶ τὰ μὴ εἴδεα, ἅ ἐστιν ἐν ἰητρικῇ ὁ καιρὸς γνῶναι· ὅτι τὰ [6]ὑποχωρητικὰ οὐχ ὑποχωρητικὰ γίνεται, καὶ τἄλλα ὅτι ὑπεναντία ἐστὶ, καὶ τὰ [7]ὑπεναντιώτατα οὐχ [8]ὑπεναντιώτατα. Ὁ δὲ καιρὸς ὅδ' ἐστί· τὰ σιτία προσφέρειν, [9]ὅσων μέλλει τὸ σῶμα προσφερόμενον τὸ πλῆθος κρατέειν, ὥστ' ἢν μὲν οὕτω ποιέῃ, πᾶσα ἀνάγκη τὸ ὑποχωρητικὸν σιτίον προσφερόμενον ὑποχωρητικὸν εἶναι, καὶ τὸ φλεγματῶδες φλεγματῶδες. Ἢν κρατέῃ [10]οὖν τὸ σῶμα τῶν σιτίων, οὔτε νοῦσος οὔτε ὑπεναντίωσις γίνεται [11]προσφερομένων, καὶ οὗτος ὁ καιρός ἐστιν ὃν δεῖ τὸν ἰητρὸν [12]εἰδέναι· ἐπὴν δὲ τὸν καιρὸν ὑπερβάλλῃ, τὸ ὑπεναντίον γίνεται, [13]καὶ οἱ πρὶν ὑπερπέσσειν οἴονται ἔχειν, καὶ τὸ θερμαίνεσθαι· ἕως μὲν γὰρ [14]ἂν τὸ σῶμα τοῦ προσοίσματος κρατέῃ, τρέφεται τὸ σῶμα· [15]ἐπὴν δὲ τοῦτον τὸν καιρὸν ὑπερβάλλῃ, τὸ ὑπεναντίον γίνεται, ἰσχναίνεται γάρ· καὶ τἄλλα πάντα δὲ τὰ φλεγμαίνειν ποιεῦντα, ἕως μὲν ἂν κρατέῃ τὸ σῶμα, [16]ἔτι τὰ πρὸς τὸν καιρὸν καὶ τὰ κατὰ φύσιν ποιέουσιν ἕκαστον,

[1] Τὸ γὰρ σ. μετ. νικώμενον (νηκώμενον Ald.) καὶ ὀλιγοεργές ἐστιν, καὶ ὑπὸ παντὸς (hic addit μὲν ἂν C) τὰς vulg. – τὸ γὰρ σ. μετ. καὶ ὀλιγοεργὲς ὂν καὶ ὑπὸ παντὸς νικώμενον τὰς A. — [2] ἰσχναίνοντά τε A. – ἰσχναῖνον sine τε vulg. — [3] τὰ om. A. – ποιέοντα pro πάσχοντα Zwing. in marg., Lind. — [4] ὀλιγοχρόνιος A. – ἐκείνω A, Zwing. in marg. – ἐκεῖνο vulg. — [5] εἴδεα, al. manu ἠδέα (bis) A. – ἃ om. A. – Cet ἃ aura été omis à cause de l'α final de εἴδεα. – Ante ἐστιν addit μὴ vulg. (δὴ Zwing. in marg., Lind., Mack). – μὴ om. A. – La correction de Zwing. est très-bonne, mais on peut supprimer ce μὴ importun avec A. — [6] ὑποχωρητικὰ Zwing. in marg., Lind., Mack. – ὑποχωρήματα vulg. – ὑποχωρ. οὐχ om. A. — [7] ὑπεναντία A. – οὐχ ὑπεν. om. E P'. — [8] Post ὑπ. addit ἐστιν A. — [9] ὅσων, al. manu ὅσον A. – ὅσω C. — [10] ἓν pro οὖν Ald. – γὰρ ἐν pro οὖν A. – τὰ ἔντομα pro οὖν τὸ σῶμα C. — [11] Ante πρ. addit τῶν A. – οὗτος A. – αὐτὸς vulg. — [12] γνῶναι A. — [13] καὶ οἱ πρὶν ὑπερπεσεῖν vulg. – καὶ οἱ πρὶν ὑπερπέσσειν Lind. – Ce passage est fort difficile. Zwinger lit en marge : καὶ οἱ πρὶν ὑπερπέσσειν οἷοί τ' ὄντες οὐκέτι θερμαίνεσθαι. Mack a mis : καὶ οἱ πρὶν ὑπερπέσσειν οἷοί τ' ὄντες, νῦν οὐδὲ θερμαίνεσθαι. Triller, dans des notes manuscrites de Kühn qu'a bien voulu me transmettre M. le docteur Rosenbaum, dit : Mihi locus ita restituendus

on l'administre change aussi ; en effet le corps, changé, devenu de faible action et vaincu par toute chose, éprouve des accidents. Il en est de même pour les purgatifs, pour les substances qui procurent l'embonpoint, pour celles qui atténuent ; elles produisent cette action propre et toutes les actions qui y sont contraires.

44. (*De la mesure en médecine.*) La médecine est de mesure fugitive (*comp.* Aph. I, 1); celui qui le comprend a là un point fixe, et il sait quelles sont les réalités et les non-réalités (*comp. pour* εἶδος, réalité, *le traité* de l'Art, § 2, t. VI, p. 4) dont la connaissance constitue la mesure en médecine ; c'est-à-dire que les purgatifs deviennent non purgatifs, et ainsi des autres qui sont contraires; et les plus contraires ne sont pas les plus contraires. La mesure est ceci : administrez les aliments en quantité telle que le corps doive les surmonter ; s'il les surmonte, de toute nécessité l'aliment qui relâche relâche, et l'aliment phlegmatique procure la phlegmasie (*abondance de sucs*, voy. p. 290, note 15). Si donc le corps surmonte les aliments, il ne s'opère ni maladie ni contrariété dans les choses ingérées, et c'est là la mesure que le médecin doit connaître. Mais quand on dépasse la mesure, le contraire survient, et même, si l'on prétend persister avant d'avoir achevé la digestion du surcroît, la chaleur fébrile. En effet tant que le corps surmonte la chose ingérée, il se nourrit; mais quand il dépasse cette mesure, le contraire survient, et le sujet maigrit. De même, tout ce qui procure la phlegmasie (*abondance de sucs*) exerce, tant que le corps en triomphe, l'action propre

videtur : καὶ οἵ, πρὶν ὑπερπέσσειν, βάρος (vel ἄχθος vel simile quid) οἴονται ἔχειν καὶ θερμαίνεσθαι, hoc est : et tales, priusquam cibum immodice ingestum superaverint, pondus se intus habere et anxie incalescere sentiunt. Imo legendum ἰχεῖν, dolere, seu ἄγχειν, difficulter spirare; vel οἴονται ἔχειν ἐκ τοῦ θερμαίνεσθαι, vel πνίγειν, vel ἀχέειν seu ἀχεῖν. Quant à moi, admettant ὑπερπέσσειν au lieu de ὑπερπεσεῖν, et οἳ au lieu de οἵ, je tire un sens acceptable de cette phrase obscure. — [14] ἂν om. A. — [15] ἐπὶ vulg. - ἐπεὶ Lind. - ἐπὴν ACL, Mack. - γίνεται om. A. — [16] ἔτι τε πρὸς vulg. - ἔστι δὲ τὰ πρὸς A. - Je substitue à τε de vulg. τὰ de A. - ἕκαστον ποιέουσιν A.

τὰ φλεγματώδεα φλεγμαίνειν· ἐπὴν δὲ ὑπερβάλλῃ τὸν καιρὸν, τὰ ὑπεναντία γίνεται[1].

45. Πάντα φάρμακά εἰσι τὰ μετακινέοντα τὸ παρεόν· πάντα δὲ τὰ ἰσχυρότερα μετακινέουσιν· ἔξεστι δὲ, ἢν μὲν βούλῃ, φαρμάκῳ μετακινέειν· ἢν δὲ μὴ βούλῃ, [2]σιτίῳ· ἅπαντα δὲ νοσέοντι μετακινέειν ἐκ τοῦ παρεόντος ἀρήγει· ἢν γὰρ μὴ μετακινήσῃς τὸ νοσέον, αὔξεται. Φάρμακα [3]οὐ χρὴ τὰ ἰσχυρὰ φύσει ἐπὶ τῶν ἀσθενέων [4]νοσημάτων διδόναι, ὀλιγότητι τοῦ φαρμάκου ἀσθενὲς ποιεῦντα· ἀλλὰ τοῖσι μὲν ἰσχυροῖσι φύσει [5]φαρμάκοις ἰσχυροῖσι χρῆσθαι, [6]τοῖς δ' ἀσθενέσι φαρμάκοις μὴ ἰσχυροῖσι, [7]μηδὲ μεταποιεῦντα τὸ φάρμακον, ἀλλὰ κατὰ φύσιν ἑκάστοισιν· τοῖσι μὲν ἀσθενέσι ἀσθενῆ φάρμακα φύσει, τοῖσι [8]δὲ ἰσχυροῖσι νοσήμασιν ἰσχυρὰ φύσει τὰ φάρμακα. Τὰ δὲ νοσήματα [9]ᾗ πελαστάτω πέφυκεν, ἐξάγειν, ταύτῃ δ' ἐξάγειν ᾗ ἑκάστῳ ἔξοδος ἐγγυτάτω. Τὰ ὑποχωρητικὰ τοιάδε ἐστὶν, ὅσα ὀλισθηρὰ καὶ τμηματώδεα, καὶ ὅσα ἐν τοῖσι θερμοῖσι λεπτύνονται· ἡ γὰρ κοιλίη θερμή ἐστι· καὶ τἄλλα τὰ ἁλμυρὰ, καὶ ὅσα τῶν τοιούτων πλεῖστον ἔχουσιν. Τὰ δ' οὐ διαχωρητικὰ, ἀλλὰ στάσιμα, ὅσα φῦσαν παρέχουσιν· τὰ γὰρ ὑγρὰ ξηραινόμενα φῦσαν [10]ποιέουσι, καὶ τὰ στύφοντα, καὶ τὰ ὑπὸ θερμοῦ πηγνύμενα, καὶ τὰ ψαθυρὰ, καὶ τὰ ξηρά. Πάντα δὲ τὰ ἐντὸς φλεγμαίνειν ποιέουσι προσφερόμενα, ἅσσα τὰ ἐκτὸς ἰσχναίνουσιν· ταῦτα δὲ καὶ [11] ἰσχυτήριά ἐστι καὶ φλεγματώδεα. Καὶ τὰ ὑποχωρητικὰ ἰσχναίνοντα θερμαίνουσι τὰ τοιαῦτα· ἔτι [12]δὲ τὰ ὀξέα καὶ φλεγματώδεα. Πάντα δὲ τὰ ψύχοντα τὰ ἐν τῇ κοιλίῃ· τὰ δὲ τοιαῦτα ὑποχωρητικά ἐστι· καὶ τὰ ψυχρὰ καὶ τὰ ὑγρά· ὁπόταν δὲ μὴ ὑποχωρητικὰ [13]ἔωσι, θερμαίνουσιν. Ψύχουσι δὲ καὶ τὰ θερμὰ ἐς τὴν κοιλίην προσφερόμενα καὶ ταχὺ [14]διαχώρησιν ποιεύμενα, διαχω-

[1] Ici s'arrête le ms. A par ces mots : τέλος περὶ τόπων τῶν κατὰ ἄνθρωπον. — [2] σιτέῳ (sic) C. — [3] [δὲ] οὐ Lind. — [4] νουσ. (ubique) Lind. — [5] φαρμάκοισι ἰσχ. χρέεσθαι Lind. - Post φαρμ. addit ἐπὶ C. — [6] τοῖσι δ' ἀσθ. φαρμάκοισι Lind. - δὲ E. — [7] μηδὲ τὰ ποιεῦντα vulg. - μηδὲ μεταποιεῦντα Foes in not., Lind., Mack. - Bonne conjecture. — [8] δὲ C, Lind. - δὲ om. vulg. — [9] ᾗ Foes in not., Lind., Mack. - ἡ vulg. — [10] ποιοῦσιν C. — [11] ἰσχητήρια C. — [12] καὶ pro δὲ L. - Post δὲ addunt καὶ Lind., Mack. - Ante φλ. addit τὰ E. - Il est difficile de comprendre exactement comment l'auteur divise les propriétés des médicaments. Peut-être le texte est-il incorrect. — [13] ἐῶσι CE. — [14] διαχώρησιν ποιέουσι K', Cornarius, Lind., Mack. - διαχ. ποι. om. vulg. - Ces mots sont indispensables, la correction de Cornarius est très-bonne;

à sa mesure et à sa nature, c'est-à-dire que ce qui est phlegmatique rend phlegmatique (*abondant en sucs*); mais, si la mesure est dépassée, le contraire se produit.

45. (*Le remède est tout ce qui modifie.*) Le remède est tout ce qui modifie l'état présent; or, toutes les substances qui ont quelque force sont modificatrices. On peut modifier par un remède si l'on veut, et, si l'on ne veut pas, par l'aliment. Au malade convient tout changement hors de l'état présent; car le mal, si on ne le change pas, augmente. Il ne faut pas prescrire les remèdes naturellement forts dans les maladies faibles; en diminuant la dose on diminuera la force. Pour les constitutions fortes on se servira de remèdes forts, pour les constitutions faibles de remèdes faibles, sans changer le remède, mais en se conformant à la nature de chacun. Pour les maladies faibles on prescrira des remèdes naturellement faibles, pour les maladies fortes des remèdes naturellement forts. Les maladies doivent être chassées et par la partie qui leur est naturellement la plus voisine, et par la voie qui en est la plus proche. Les purgatifs sont les suivants : substances glissantes et incisives, substances qui s'atténuent dans les parties chaudes (le ventre est chaud), substances salines, et toutes celles qui se rapprochent le plus des précédentes. Les substances non purgatives mais resserrantes sont celles qui produisent des flatuosités (les substances humides, se séchant, engendrent des flatuosités), ainsi que les substances astringentes, celles qui se coagulent par la chaleur, celles qui sont friables, celles qui sont sèches. Tout ce qui atténue à l'extérieur, est phlegmatique (*fait abonder les sucs*, voy. p. 290, note 15) à l'intérieur; ces substances, en même temps qu'elles sont phlegmatiques, sont fortifiantes. Les purgatifs qui atténuent sont échauffants; il en est de même des acides et de ce qui est phlegmatique (*voy. note* 12). Tout ce qui refroidit le ventre est pur-

le copiste aura sauté d'un διαχώρησιν à l'autre. Seulement je préfère ποιεύμενα à ποιέουσι.

ρησιν δὲ μὴ ποιεύμενα θερμά ἐστιν ἐν τῇ κοιλίῃ. Τούτων ὅσα πλησμονὴν ποιέει, μάλιστα φλεγματώδεά ἐστιν· ἃ δὲ πλεῖστα προσφερόμενα, οὐ ποιέει πλησμονὴν, διαχωρητικά.

46. [1]Ἰητρικὴ δή μοι δοκέει ἤδη ἀνευρῆσθαι ὅλη, ἥτις οὕτως ἔχει, ἥτις διδάσκει ἕκαστα καὶ τὰ ἔθεα καὶ τοὺς καιρούς. Ὃς γὰρ οὕτως ἰητρικὴν ἐπίσταται, ἐλάχιστα τὴν τύχην ἐπιμένει, ἀλλὰ καὶ ἄνευ τύχης καὶ ξὺν τύχῃ εὐποιηθείη ἄν. [2]Βέβηκε γὰρ ἰητρικὴ πᾶσα, καὶ φαίνεται τῶν σοφισμάτων τὰ κάλλιστα ἐν αὐτῇ συγκείμενα ἐλάχιστα τύχης δεῖσθαι· ἡ γὰρ τύχη [3]αὐτοκρατὴς καὶ οὐκ ἄρχεται, οὐδ' ἐπ' εὐχῇ ἐστιν [4]αὐτὴν ἐλθεῖν· ἡ δ' ἐπιστήμη ἄρχεταί τε καὶ εὐτυχής ἐστιν, ὁπόταν βούληται ὁ ἐπιστάμενος [5]χρῆσθαι. Ἔπειτα τί καὶ δεῖται ἰητρικὴ τύχης; εἰ μὲν γὰρ ἔστι τῶν νοσημάτων φάρμακα [6]σαφῆ, οἶμαι, οὐκ ἐπιμένει τὴν τύχην τὰ φάρμακα ὑγιᾶ ποιῆσαι τὰ νοσήματα, εἴπέρ ἐστι τὰ φάρμακα· εἰ δὲ σὺν [7]τῇ τύχῃ διδόναι ὠφελέει, οὐδὲν μᾶλλον τὰ φάρμακα [8]ἢ καὶ τὰ μὴ φάρμακα σύν γε τῇ τύχῃ ὑγιᾶ ποιέουσι προσφερόμενα τοῖσι νοσήμασιν. Ὅστις δὲ τὴν τύχην ἐξ ἰητρικῆς ἢ ἐξ ἄλλου τινὸς ἐξελάσει, φάμενος οὐ τοὺς καλῶς τι πρῆγμα ἐπισταμένους [9]χρῆσθαι τύχῃ, τὸ ὑπεναντίον δοκέει μοι γινώσκειν· ἐμοὶ γὰρ δοκέουσι μοῦνοι καὶ ἐπιτυγχάνειν καὶ ἀτυχεῖν οἱ καλῶς τι καὶ κακῶς πρῆξαι ἐπιστάμενοι· ἐπιτυγχάνειν τε γὰρ τοῦτ' ἐστὶ τὸ καλῶς ποιέειν, τοῦτο δὲ οἱ ἐπιστάμενοι ποιέουσιν· ἀτυχεῖν δὲ, τοῦτ' ἐστὶν, ὃ ἤν τις μὴ ἐπίστηται, τοῦτο μὴ καλῶς [10]ποιέει· ἀμαθὴς δὲ ἐὼν, πῶς ἂν [11]ἐπιτύχοι; εἰ γάρ τι καὶ ἐπιτύχοι, οὐκ ἂν ἀξίως λό-

πον GHI. -ὕσσωπος Εθ. -ὕσωπος JK. -θερμαίνει EHKθ. -θερμὸν vulg. -φλεγματῶδες sine ἄγει vulg. -φλεγματώδεα, cum ἄγει al. manu H. -φλεγματώδεα ἄγει EK, Zwing. in marg., Lind., Mack. -ὑπάγει φλεγματώδεα θ. -D'après M. Fraas, ib., p. 182, l'ὕσσωπος des Grecs est non l'hysope officinal, qui ne vient pas en Grèce, mais l'origanum smyrnæum ou syriacum. — [11] ὅσα EHK. -ἐν EKθ. -ἐν om. vulg. -σώματι E (H, al. manu, erat prius στόματι) K. -μᾶλλον καὶ οὐραίεται θ. — [12] δ' EHKθ. -καὶ μωρὴν om. G. — [13] ἢ Kθ. -καὶ pro ἢ vulg. — [14] δ' θ. -ἐστι om. K. -ἔτι pro ἐστι Mack. -καὶ στρυφνὰ vulg. -καὶ om. EGHIK, Ald. -στριφνὰ I. — [15] ἢ θ. -καὶ pro ἢ vulg. -διουραίεται θ. — [16] σώματι (E, al. manu στόματι) GHJK, Ald. -πάντα om. EHKP'θ. -Ante ψυκτικὰ addunt καὶ EGHJK, Ald. — [17] χυλοὶ al. manu H. -κρήθμου θ, Lind., Mack. -κρήμνου vulg. -σκόρδου (sic) θ. -κυτίσσου EHK. -μαράθων H. -μαράθρων E. -μαράθου IJθ. -πράσσου EI, Ald., Frob., Zwing., Lind., Mack. -πράσων θ. -ἀνδιάντου K.

τικοὶ, κρήθμου, σελίνου, σκορόδου ἀποβρέγματα, κυτίσου, μαράθρου, πράσου, ἀδιάντου, [1]στρύχνου· ψύχει σκολοπένδριον, μίνθη, [2]σέσελι, σέρις, καυκαλίδες, ὑπερικὸν, κνίδαι· [3]διαχωρητικοὶ δὲ καὶ καθαρτικοὶ, ἐρεβίνθων, φακῆς, κριθῆς, τεύτλων, κράμβης, λινοζώστιος, ἀκτῆς, κνήκου· ταῦτα [4]πάντα ὑποχωρέεται μᾶλλον ἢ διουρέεται.

55. [5]Περὶ δὲ ὀπώρης ὧδε ἔχει. Τὰ [6]μὲν ἐγκάρπια διαχωρητικώτερα, τὰ δὲ χλωρὰ τῶν ξηρῶν. Ἡ δὲ δύναμις εἰρήσεται αὐτέων. [7]Μόρα θερμαίνει καὶ ὑγραίνει καὶ διαχωρέει. Ἄπιοι πέπειροι θερμαίνουσι καὶ ὑγραίνουσι καὶ διαχωρέουσιν· αἱ δὲ σκληραὶ [8]στάσιμοι· ἀχράδες χειμέριοι πέπειροι διαχωρέουσι [9]καὶ τῆς κοιλίης καθαρτικαί· αἱ δὲ ὠμαὶ στάσιμοι. [10]Μῆλα γλυκέα δύσπεπτα, τὰ δὲ ὀξέα [11]καὶ πέπονα ἧσσον· κυδώνια στυπτικὰ καὶ οὐ διαχωρέουσιν· οἱ δὲ χυλοὶ τῶν μήλων πρὸς τοὺς ἐμέτους στατικοὶ καὶ οὐρητικοί· καὶ [12]ὀδμαὶ πρὸς τοὺς ἐμέτους· τὰ [13]δὲ ἄγρια μῆλα στατικὰ, ἑφθὰ δὲ ἐσθιόμενα μᾶλλον διαχωρητικά· πρὸς δὲ τὴν ὀρθοπνοίην οἵ τε [14]χυλοὶ αὐτῶν καὶ αὐτὰ πινόμενα ὠφελέει. [15]Οὖα δὲ καὶ μέσπιλα καὶ κράνια καὶ ὅση ἄλλη τοιαύτη ὀπώρη στατικὴ καὶ στρυφνή. [16]Ῥοιῆς γλυκείης ὁ χυλὸς διαχωρέει, καυσῶδες δέ τι ἔχει· [17]αἱ οἰνώδεες τῶν ῥοιῶν φυσώδεες· [18]αἱ δὲ ὀξεῖαι ψυκτικώτεραι· οἱ δὲ πυρῆνες πασέων

[1] Στρύχνου, ὃ καὶ ψύχει, σκολοπένδριον P′, Lind., Mack. – στρύχνου, τάδε ψύχει, σκολοπέντριον (G, al. manu τάδε), Ald. – στρύχνου, καὶ ταῦτα ψύχει σκολοπένδριον HK. – καὶ ψύχει στρύχνον, καὶ τοῦτο ψύχει καὶ σκολοπένδριον, sine στρύχνου θ. – σκολοπέντριον vulg. – σκολοπένδριον E, Zwing. — [2] σεσελισσερις (sic) θ. – Cela se décompose en σέσελι, σέρις. – σέρις om. vulg. – κνίδα J. — [3] διαχωρητικὰ (δὲ Lind.) καὶ καθαρτικὰ, ἐρέβινθοι, φακὴ (φακῆ K; φακοὶ E), κριθαὶ, τεῦτλα (τεῦτλον H), κράμβη, λινόζωστις, ἀκτὴ, κνίκος (κνῆκος I; κνῖκος J) (post κν. addit ἀδμῆς sic H) vulg. – διαχωρητικοὶ δὲ καὶ καθαρτικοὶ, ἐρεβίνθων, φακῆς, κριθῆς, σεύτλον (sic), κράμβης, λινοζώστιος, ἀκτῆς, κνήκου, ἅλμης (sic) θ. — [4] πάντα om. EHKθ. – μᾶλ. ὑπ. EHKθ. – διουρεῖται θ. — [5] π. δὲ ὀπ. ὧ. ἔ. om. FG. – ὀπωρῶν IJ. — [6] μὲν om. GI. – κάρπιμα θ. – εἰρήσεται θ, Mack. – εἴρηται vulg. – αὐτῶν θ. – ἑκαστέων pro αὐτέων Zwing. in marg. — [7] μόρρα E. – μωρὰ (sic) θ. – ἄπειοι θ. — [8] στάσιμον θ. – ἀχράδες δὲ θ. — [9] καὶ τὴν κοιλίην καθαίρει EH (καθαίρουσι K) θ. – δ' EHK. – στάσιμον Hθ. — [10] μῆλα κυδώνια δύσπεπτα ὀξέα πέπονα ἧσσον· ἔχει δέ τι στυπτικὸν pro μῆλα.... διαχωρέουσιν θ. – ὀξέα δὲ sine τὰ EHK. — [11] καὶ om. EHK. – διαχωρέει EHK. – τῶν μήλων om. θ. — [12] ὀσμαὶ EHK. – πρὸς τοὺς ἐμέτους θ. – πρὸ τῶν ἐμέτων vulg. — [13] δ' EHKθ. – ἐσθιόμενα om. (H, restit. al. manu) θ. – διαχωρέει EHKQ′θ, Zwing. in marg. — [14] χυμοὶ FG (H, al.

acides rafraîchissent. Sont diurétiques les jus de fenouil marin (*crithmum maritimum*, L.), de l'ache, les infusions d'ail, de cytise, de fenouil, de porreau, d'adiante (*adiantum capillus veneris*, L.), de morelle; sont rafraîchissants la scolopendre, la menthe, le seseli, la chicorée, la pimprenelle, l'hypericum, l'ortie; sont de suc évacuant et purgatif, le pois chiche, la lentille, l'orge, la bette, le chou, la mercuriale, le sureau, le carthame; tout cela a plutôt la propriété d'évacuer que de faire uriner.

55. (*Des fruits.*) Quant aux fruits, voici ce qu'il en est : les fruits mûrs sont plus relâchants ; les fruits récents le sont plus que les fruits secs. Les propriétés en vont être dites : les mûres échauffent, humectent et évacuent. Les poires mûres échauffent, humectent et évacuent ; les poires dures sont resserrantes ; les poires sauvages d'hiver, mûres, sont évacuantes et purgent le ventre ; crues, elles resserrent. Les pommes douces sont de difficile digestion; les pommes acides, mûres, de moins difficile. Les coings sont astringents et ne font pas aller à la selle. Le suc de pomme arrête les vomissements et pousse à l'urine; l'odeur des pommes est bonne aussi contre les vomissements. Les pommes sauvages sont resserrantes; mais, mangées cuites, elles le sont moins; pour l'oppression le jus de pomme et la pomme même en boisson rendent service. Les sorbes, les nèfles, les cornouilles et les autres fruits de ce genre sont resserrants et astringents. Le jus de la grenade douce est évacuant, mais il a quelque chose de brûlant; les grenades vineuses sont flatulentes; les grenades acides sont plus rafraîchissantes; mais les grains de toutes sont resserrants. Les concombres (*voy.* p. 564 *note* 1) sont froids et de difficile digestion ; les melons sont diurétiques et évacuants, mais flatulents. Les

manu) J. – καὶ αὐτὰ πινόμενα οἵ τε χυλοὶ ὠφελέει θ. – αὐτῶν om., restit. al. manu H. — [15] σοῦρβα Zwing. in marg. – κράνεα θ. – ἡ pro ὅση ἄλλη EHKθ. — [16] καὶ ῥ. vulg. – καὶ om. EHK. – ῥοίης vulg. – ῥοιῆς EHIJK, Mack. – ὁ om. θ. — [17] ὁ οἰνώδης θ. – τῶν ῥ. om. (H, rest. al. manu) θ. – φυσώδης θ. – ἧσσον καυσώδεες pro φ. vulg. — [18] ἡ δὲ ὀξία (sic) ψυκτικωτέρη θ. – πυρῖνες (H, al. manu ρῆ) θ. – πασέων K. – πάντων vulg. – στάσιμον θ.

στάσιμοι. [1]Σίκυοι ὠμοὶ ψυχροὶ καὶ δύσπεπτοι· οἱ δὲ πέπονες οὐρέονται καὶ διαχωρέονται, φυσώδεες δέ. Βότρυες [2]θερμοὶ καὶ ὑγροὶ καὶ διαχωρητικοὶ, μάλιστα οἱ λευκοί· οἱ μὲν οὖν γλυκέες θερμαίνουσιν ἰσχυρῶς, διότι [3]πουλὺ ἤδη τοῦ θερμοῦ ἔχουσιν· οἱ δὲ ὀμφακώδεες ἧσσον θερμαίνουσι, καθαίρουσι [4]δὲ πινόμενοι· σταφίδες δὲ καυσώδεες, διαχωρέει δέ. [5]Σῦκον χλωρὸν ὑγραίνει καὶ διαχωρέει καὶ θερμαίνει, ὑγραίνει μὲν, [6]ὅτι ἔγχυλόν ἐστι, [7]θερμαίνει δὲ διὰ τὸν γλυκὺν ὀπὸν, καὶ διαχωρέει· τὰ πρῶτα [8]τῶν σύκων κάκιστα, ὅτι εἰσὶν ὀπωδέστατα, βέλτιστα δὲ τὰ ὕστατα· [9]τὰ ξηρὰ σῦκα καυσώδεα μὲν, διαχωρητικὰ δέ. Αἱ ἀμυγδάλαι καυσώδεες, [10]τρόφιμοι δέ· καυσώδεες μὲν διὰ τὸ λιπαρὸν, [11]τρόφιμοι δὲ διὰ τὸ σαρκῶδες. Καὶ κάρυα τὰ στρογγύλα παραπλήσια· τὰ δὲ [12]πλατέα πέπονα τρόφιμα, καὶ διαχωρέει [13]καθαρὰ ἐόντα, καὶ φῦσαν ἐμποιέει· οἱ δὲ χιτῶνες αὐτέων στάσιμοι. Ἄκυλοι [14]καὶ βάλανοι καὶ φηγοὶ στατικὰ ὠμὰ καὶ ὀπτά· ἑφθὰ δὲ ἧσσον.

56. Τὰ πίονα τῶν κρεῶν καυσώδεα, [15]διαχωρητικὰ δέ. Κρέα ταριχηρὰ ἐν οἴνῳ μὲν ξηραίνει καὶ τρέφει, [16]ξηραίνει μὲν διὰ τὸν οἶνον, τρέφει δὲ διὰ τὴν σάρκα· ἐν ὄξει δὲ [17]τεταριχευμένα θερμαίνει μὲν ἧσσον διὰ τὸ ὄξος, τρέφει δὲ ἱκανῶς· ἐν [18]ἅλσὶ δὲ κρέα ταριχηρὰ τρόφιμα μὲν ἧσσον, διὰ τὸ [19]ἅλας τοῦ ὑγροῦ ἀπεστερημένα, ἰσχναί-

[1] Σικυοὶ HIK. – ψυχροὶ καὶ om. θ. – καὶ om. GIJ. – πέπονες δὲ sine οἱ EHKθ. – πέπειροι pro πέπονες Mack. – Mack dit que θ a πέπειροι; ma collation porte πέπονες. Sa conjecture, si c'en est une, si θ n'a pas πέπειροι, est plausible à cause de ὠμοὶ qui précède. Mais M. Fraas, ib., p. 103, pense que σίκυος ὠμὸς veut dire concombre; et cela me paraît probable. – οὐροῦνται καὶ διαχωρεῦνται EHK. – οὐραίονται καὶ διαχωρέουσι δέ· φυσώδεες δὲ θ. — [2] θερμὸν καὶ ὑγρὸν καὶ διαχωρέει μάλιστα μὲν οἱ EHKQ'θ. – θερμὸν καὶ ὑγρὸν IJ. – μάλιστα μὲν οἱ Lind., Mack. — [3] πουλὺ HK, Lind. – πολὺ vulg. – ὀμφάκωδες (sic) θ. – ὀμφακώδεις J. — [4] δὲ μᾶλλον vulg. – μᾶλλον om. (H, restit. al. manu) θ. – σῦκα (σύκα EK, Ald., Lind.) καὶ (σῦκα καὶ om. θ) σταφίδες (ἀσταφίδες Hθ) (addit δὲ θ) καυσώδεα (καυσώδεες H, al. manu δεα; καυσῶδες θ), διαχωρητικὰ (διαχωρέει, H al. manu ρητικά, θ) δὲ (δὲ om. P') vulg. — [5] σύκον K, Ald., Lind. — [6] διότι EH. – διὰ τὸ ἔνχυλον εἶναι θ. — [7] θερμαίνει δὲ διὰ τὸν γλυκὺν ὀπὸν καὶ διαχωρέει θ. – θερμαίνει δὲ διὰ τὸν ὀπὸν, διαχωρέει δὲ διὰ τὸ γλυκὺ τοῦ ὀποῦ (τὸν γλυκὺν ὀπὸν EH; τὸν ὀπὸν sine τὸ γλυκὺ G) vulg. — [8] σύκα pro τῶν σ. EP'. – εἰσὶν om. EHKθ. – ὀπωδέστερα FGK. — [9] τὰ om. (H, restit. al. manu) θ. – μὲν θ. – μὲν om. vulg. – διαχωρέει EHKθ. – αἱ δὲ ἀμ. HK. – ἀμυγδαλαῖ (sic) K. – ἀμυγδαλαὶ Mack. – ἀμύγδαλα θ. — [10] τρόφιμοι (τρόφιμον HKθ) δέ εἰσι (εἰσι om. Eθ) διὰ ταῦτα (τάδε EHK) (διὰ ταῦτα vel τάδε om. θ) vulg. – καυσῶδες θ. — [11] τρόφιμον H

raisins sont chauds, humides et évacuants, surtout les blancs ; les raisins doux échauffent fortement parce qu'ils ont déjà une grande portion de chaud ; les raisins verts échauffent moins, ils purgent en boisson ; les raisins secs sont échauffants, mais ils évacuent. La figue verte humecte, évacue et échauffe ; elle humecte parce qu'elle est juteuse ; elle échauffe et évacue par son suc doux ; les premières figues sont les plus mauvaises parce qu'elles ont le plus de suc ; les meilleures sont les dernières ; les figues sèches sont échauffantes, mais évacuantes. Les amandes sont échauffantes, mais nourrissantes ; échauffantes à cause de leur principe huileux, nourrissantes à cause de leur chair. Les noix rondes (*la noix ordinaire*) agissent de même. Les noix plates (*châtaignes*), mûres, sont nourrissantes, évacuantes, si elles sont pelées, et causent des flatuosités ; mais les peaux en sont resserrantes. Les glands du *quercus ilex*, les glands, ceux du *quercus esculus* sont resserrants, crus et grillés ; mais, bouillis, ils le sont moins.

56. (*Des conditions qui font que, tout étant égal d'ailleurs, une substance alimentaire gagne ou perd de la force, de l'humidité, de la sécheresse, etc.*) Les viandes grasses causent de la chaleur, mais sont évacuantes. Les viandes conservées dans du vin dessèchent et nourrissent ; elles dessèchent à cause du vin, elles nourrissent à cause de la chair ; dans du vinaigre, elles échauffent moins à cause du vinaigre, et elles nourrissent

Kθ. – καὶ om. θ. – τὰ om. θ. – στρογγῦλα E. – παραπλησίως (παραπλήσια Lind.) ταύταις ἔχουσι vulg. – παραπλήσια, sine ταύταις ἔχουσι EHKP'Q'θ. — [12] Post πλ. addit κάρεα (sic) θ. – Mack dit qu'il y a κάρυα. – τρόφιμα πέπονα θ. – τρόφιμον HK. – διαχωρέει EHKθ. – διαχωρητικὰ vulg. — [13] Post καθ. addit δὲ vulg. – δὲ om. EHKθ. – ὄντα θ. – ἐμποιέει EHKθ, Lind. – ἐμποιέουσιν vulg. – αὐτῶν στάσιμον θ. – ἀκυλοὶ vulg. – ἄκυλοι E. — [14] δὲ καὶ θ. – Mack ne note pas ce δέ. – δρύϊνοι pro καὶ φηγοὶ θ. – φηγὴ, al. manu οἱ H. – Ante ὠμὰ addit καὶ K. – καὶ ὀπτὰ om. θ. — [15] διαχωρέει EHKθ. – δὲ om. K. – κρέη EHK. – μὲν ὄντα vulg. – ὄντα om. (H, restit. al. manu) θ. – Ante ξηραίνει addunt ταριχηρὰ G (H, al. manu) IK. — [16] ξηραίνει.... σάρκα om. FGIJ. — [17] τετ. om. FGIJ. – ἧσσον (ἧσσον om. K) δὲ (δὲ om. EHIJKθ) διὰ vulg. – D'après Mack, c'est ἧσσον qui manque dans θ. — [18] ἁλὶ θ. – κρέα ταρ. om. FGIJ. — [19] ἅλας JK, Mack. – ἅλες vulg. – ἅλα (sic) θ. – διὰ τὸ ἅλες ἐς (sic) τοῦ Lind. – διαχωρέει καὶ ξηραίνει E.

νει δὲ καὶ ξηραίνει καὶ διαχωρέει ἱκανῶς. Τὰς δὲ δυνάμιας ἑκάστων ἀφαιρέειν καὶ προστιθέναι ὧδε χρὴ, [1]εἰδότα ὅτι πυρὶ [2]καὶ ὕδατι πάντα ξυνίσταται καὶ ζῶα καὶ φυτὰ [3]καὶ ὑπὸ τουτέων αὔξεται καὶ ἐς ταῦτα διακρίνεται. Τῶν μὲν οὖν ἰσχυρῶν σιτίων ἑψῶντα πολλάκις καὶ διαψύχοντα τὴν δύναμιν [4]ἀφαιρέειν, τῶν δὲ ὑγρῶν πυροῦντα καὶ φώζοντα τὴν ὑγρασίην [5]ἐξαιρέειν, τῶν δὲ ξηρῶν βρέχοντα καὶ νοτίζοντα, τῶν [6]δὲ ἁλμυρῶν βρέχοντα καὶ ἑψῶντα, τῶν δὲ πικρῶν καὶ δριμέων τοῖσι γλυκέσι διακιρνῶντα, τῶν δὲ στρυφνῶν τοῖσι λιπαροῖσι· καὶ [7]ἐπὶ τῶν ἄλλων πάντων ἐκ τῶν προειρημένων χρὴ γινώσκειν. Ὁκόσα πυρούμενα ἢ φωζόμενα στάσιμά ἐστι μᾶλλον τῶν ὠμῶν, διότι τὸ ὑγρὸν ὑπὸ τοῦ πυρὸς [8]ἀφήρηται καὶ τὸ ὀπῶδες καὶ τὸ λιπαρόν· ὁκόταν γοῦν ἐς τὴν κοιλίην ἐμπέσῃ, ἕλκει τὸ ὑγρὸν ἐκ τῆς κοιλίης, [9]ἐπ' αὐτὰ συγκλείοντα τὰ στόματα τῶν φλεβίων, ξηραίνοντα καὶ θερμαίνοντα, ὥστε ἵστησι τὰς διεξόδους [10]τοῦ ὑγροῦ. Τὰ δὲ ἐκ τῶν ἀνύδρων καὶ ξηρῶν καὶ πνιγηρῶν χωρίων ἅπαντα [11]ξηρότερα καὶ θερμότερα καὶ ἰσχὺν πλείω παρέχεται ἐς τὸ σῶμα, διότι ἐκ τοῦ ἴσου ὄγκου βαρύτερα καὶ πυκνότερα καὶ [12]πολύνοστά ἐστιν ἢ τὰ ἐκ τῶν ὑγρῶν καὶ ἀρδομένων καὶ ψυχρῶν· ταῦτα δὲ ὑγρότερα καὶ κουφότερα καὶ ψυχρότερα. [13]Οὔκουν δεῖ τὴν δύναμιν μοῦνον αὐτέων γνῶναι τοῦ τε σίτου καὶ τοῦ πόματος καὶ τῶν ζώων, ἀλλὰ καὶ τῆς πατρίδος ὁκόθεν εἰσίν. Ὁκόταν [14]μὲν οὖν βούλωνται τροφὴν ἰσχυροτέρην τῷ σώματι προσενεγκεῖν ἀπὸ τῶν αὐτῶν σίτων, τοῖσιν ἐκ τῶν ἀνύ-

[1] Εἰδότα ὅτι θ. – εἰδότα ὅτι om. vulg. — [2] καὶ om. GIJ. – συνίσ. IJθ. — [3] καὶ ponitur ante αὔξεται θ. – ἀπὸ E (H, al. manu, erat prius ὑπὸ) K. – τούτων θ. – ἕψοντα θ. — [4] Post ἀφ. addit καὶ προστιθέναι (addunt δὲ GIJ) πάλιν πάλιν om. HKP') ὧδε χρὴ vulg. – καὶ προστιθέναι πάλιν ὧδε χρὴ om. θ. – καίοντα pro φώζοντα J. — [5] ἐξαιρέειν θ. – ἐξαιρέεσθαι vulg. – Ante βρέχ. addunt καὶ EK. – Post νοτίζ. addit τὴν ξηρότητα Mack. – Ces mots sont une addition non nécessaire faite par Mack sans autorité; il en est de même de τὴν ἁλμὴν un peu plus bas. — [6] δ' θ. – ἑψόντα (sic) θ. – Post ἑψῶντα addit τὴν ἁλμὴν Mack. – διακιρνῶντα om. (H, restit. al. manu) θ. – στριφνῶν HI. — [7] ἐπὶ om. θ. – ὅσα πυροῦται ἢ φωζόμενα στατικά ἐστι θ. – Mack dit que θ a πυρωτά. – ὅκως ἀπυρούμενα H. – φωτιζόμενα J. — [8] ἀνήρηται Q', Lind., Mack. – ἀφαιρέεται θ. – καὶ τὸ (τῷ Ald.) πυρῶδες (πιῶδες K', Zwing. in marg.) vulg. – καὶ τὸ ὀπῶδες θ, Mack. – καὶ ἐκπυροῦται pro καὶ τὸ ὀπῶδες Lind. – ὅταν θ. – οὖν EHJKθ. — [9] ἐφ' ἑωυτὸ θ. – συγκλείων FGIJK. – συγκλεῖον Q'. – καὶ συγκαίων θ. – ξυγκλείοντα [μὲν] τὰ στ. τ. φ., ξηραίνοντα [δὲ] καὶ Lind. – φλεβῶν θ. — [10] τῶν ὑγρῶν θ. – δ' HKθ. — [11] καὶ ξ. καὶ θερ. E. – θερμ. καὶ ξηρ. K. – ὄκου, al. manu ὄγκου (sic) H. — [12] πολύναστα θ. – πολύστονα J. – La le-

bien; dans du sel, elles nourrissent moins à cause que le sel les a privées de l'humide, mais elles atténuent, dessèchent et évacuent fort bien. Sachant que tous, animaux et végétaux, sont composés de feu et d'eau, sont accrus par ces principes, et se résolvent en ces principes, voici comment il faut diminuer et augmenter les propriétés de chacune des substances alimentaires : on ôtera de la force aux aliments forts en les cuisant souvent et les refroidissant, de l'humidité aux aliments humides en les grillant et rôtissant; les aliments secs, on les humectera et mouillera; les aliments salés, on les mouillera et les cuira; les aliments amers et âcres, on les mêlera aux doux; les aliments astringents aux aliments gras; et ainsi du reste, on en jugera par ce qui a été dit. Les substances grillées ou rôties sont plus resserrantes que crues, parce que le feu a enlevé l'humide, le juteux et le gras; aussi, ingérées dans le ventre, elles en attirent l'humide, fermant les orifices des veines, séchant et échauffant, de sorte que les voies de l'humide sont fermées. Les substances provenant des localités dépourvues d'eau, sèches et étouffantes, sont toutes plus sèches, plus chaudes et donnent plus de vigueur au corps, parce que, sous un volume égal, elles sont plus pesantes, plus compactes et plus nutritives que celles qui proviennent de localités humides, arrosées et froides; ces dernières sont plus humides, plus légères et plus rafraîchissantes. Il faut donc connaître non-seulement les propriétés des substances elles-mêmes, céréales, boissons et bêtes, mais encore les provenances. Ainsi, voulant donner, avec les mêmes aliments, une nourriture plus forte au corps, on emploiera ce qui provient de lieux dépourvus d'eau, céréales, boissons et bêtes; mais, voulant donner une nourriture plus légère et plus humide, on

çon de θ est aussi fort bonne : *très-compact*. – ὑγρῶν τε καὶ EHKθ. — [13] οὐκ οὖν (sic) I. – οὐκοῦν EH, Ald. – μοῦνον EHK. – μόνον vulg. – μ. om. FGI. – αὐτέου E. – αὐτοῦ μόνον θ. – τὰς πατρίδας θ. – ὁκόθεν θ. – ὁπόθεν vulg. — [14] μὲν οὖν EHKθ. – γοῦν pro μὲν οὖν vulg. – ἰσχυροτέρην θ. – ἰσχυρὰν vulg. – ἰσχυρὴν HK, Lind. – προσενέγκαι EGHIJK, Ald. – καὶ ἀπὸ vulg. – καὶ om. EP'θ. – τοῖς EGHIJK, Ald., Frob., Zwing.

δρων χωρίων χρηστέον [1]καὶ σίτοισι καὶ πόμασι καὶ ζώοισιν· ὁκόταν δὲ κουφοτέρῃ τροφῇ καὶ ὑγροτέρῃ, [2]τοῖσιν ἐκ τῶν ἀρδομένων χρηστέον. Τὰ γλυκέα καὶ τὰ δριμέα καὶ τὰ ἁλυκὰ καὶ τὰ πικρὰ καὶ τὰ αὐστηρὰ καὶ [3]τὰ σαρκώδεα θερμαίνειν πέφυκε, καὶ ὅσα ξηρά ἐστι καὶ [4]ὅσα ὑγρά. Ὁκόσα μὲν οὖν ξηροῦ μέρος πλέον ἔχει ἐν αὐτέοισι, ταῦτα μὲν ξηραίνει καὶ θερμαίνει· ὁκόσα δὲ ὑγροῦ [5]μέρος ἔχει πλέον, ταῦτα πάντα θερμαίνοντα ὑγραίνει καὶ διαχωρέει μᾶλλον ἢ τὰ ξηρά· τροφὴν γὰρ μᾶλλον ἐς τὸ σῶμα διδόντα, [6]ἀντίσπασιν ποιέεται ἐς τὴν κοιλίην, καὶ ὑγραίνοντα διαχωρέει. [7]Ὁκόσα δὲ διαθερμαίνοντα ξηραίνει ἢ σῖτα ἢ ποτὰ, οὔτε πτύσιν οὔτε οὔρησιν οὔτε διαχώρησιν ποιεῦντα ξηραίνει τὸ σῶμα διὰ τάδε· θερμαινόμενον τὸ σῶμα κενοῦται τοῦ ὑγροῦ, τὸ μὲν [8]ὑπ' αὐτέων τῶν σιτίων, τὸ δὲ ἐς τὴν τροφὴν τῷ τῆς ψυχῆς θερμῷ καταναλίσκεται, τὸ δὲ διὰ τοῦ [9]χρωτὸς ἐξωθέεται θερμαινόμενον καὶ λεπτυνόμενον. Τὰ γλυκέα καὶ τὰ πίονα καὶ τὰ λιπαρὰ πληρωτικά ἐστι, διότι ἐξ ὀλίγου ὄγκου [10]πολύχοά ἐστι· θερμαινόμενα δὲ καὶ διαχεόμενα πληροῖ τὸ θερμὸν ἐν τῷ σώματι καὶ γαληνίζειν ποιέει. Τὰ [11] δὲ ὀξέα καὶ δριμέα καὶ αὐστηρὰ καὶ στρυφνὰ καὶ [12]συγκομιστὰ καὶ ξηρὰ οὐ πληροῖ, διότι τὰ στόματα τῶν φλεβῶν ἀνέωξέ τε καὶ διεκάθηρε· καὶ τὰ μὲν ξηραίνοντα, τὰ δὲ δάκνοντα, [13]τὰ δὲ στύφοντα φρῖξαι καὶ συστῆναι ἐς ὀλίγον ἐποίησεν ὄγκον τὸ ὑγρὸν [14]τὸ ἐν τῇ σαρκί· καὶ τὸ κενὸν πουλὺ ἐγένετο ἐν τῷ σώματι. Ὁκόταν γοῦν βούλῃ ἀπ' ὀλίγων πληρῶσαι ἢ ἀπὸ πλειόνων κενῶσαι, τοῖσι τοιούτοισι χρέεσθαι. Τὰ πρόσφατα πάντα ἰσχὺν [15]πλείονα παρέχεται τῶν ἄλλων διὰ τόδε, ὅτι ἔγγιον τοῦ ζῶντός ἐστι· τὰ δὲ ἕωλα καὶ σαπρὰ διαχωρέει μᾶλλον τῶν προσφάτων, διότι ἔγγιον τῆς σηπεδόνος ἐστί.

[1]Καὶ om. GIJ. – σιτίοισι θ. – τῇ (τῇ om. θ) τροφῇ vulg. – τῆς τροφῆς J. — [2]τοῖς θ. — [3]τὰ EHKP'θ, Lind. – τὰ om. vulg. — [4]ὅσα om. J. – πικρὰ pro ὑγρὰ θ. – μέρος θ, Mack. – μέρους vulg. – πλέον (eadem manu πλεῖον H) θ. – πλεῖον vulg. – ἐν αὐτοῖς ἔχει θ. – θερμαίνει καὶ ξηραίνει θ. — [5]μέρος θ. – μέρους vulg. – ἔχει πλεῖον θ. – θερμὰ ὄντα pro θερμαίνοντα θ. – D'après Mack c'est ἐόντα qu'il y a dans θ. — [6]ἀντισπᾶσι (sic) θ. – ἀντίστασιν (L, et ταραχὴν exponit), Lind., Mack. – ἐς τὴν κοιλίην EHKθ. – ἐν τῇ κοιλίῃ vulg. — [7]ὅσα δὲ θερμαίνοντα θ. – D'après Mack, δὲ manque dans θ. – οὔτε πτύσιν οὔτε διούρησιν οὔτε διαχώρησι (sic) ποιέοντα θ. — [8]ἀπ' EP'Q', Zwing. in marg., Lind., Mack. – αὐτῶν θ. – δ' θ. – ἐς J, Lind. – εἰς vulg. – τὴν θ, Mack. – τὴν om. vulg. – ἐς τὴν τρ. om., al. manu restitut. εἰς τροφὴν H. — [9]χρώματος GIJ. – ἔξω θέεται θ. – τὰ δὲ γλ. EP', Lind., Mack. — [10]πουλυχθα (sic) θ. – γαληνίζειν θ, Mack. – γαληνιάζειν vulg. – ἐνποιέει θ. — [11]δ' EHK. – τρυ-

emploiera ce qui provient de lieux arrosés. Les choses douces, âcres, salées, amères, astringentes, charnues, échauffent ainsi que les choses sèches et les choses humides. Celles qui ont en elles plus de la portion sèche dessèchent et échauffent ; celles qui ont plus de la partie humide échauffent, humectent et évacuent plus que les sèches ; car, donnant au corps plus de nourriture, elles exercent une révulsion sur le ventre, et, humectant, évacuent. Les substances, soit aliments, soit boissons, qui, échauffant, dessèchent, ne produisant ni crachement ni urine ni selles, dessèchent le corps pour ceci : le corps échauffé éprouve une déperdition d'humide, dont une partie est prise par les aliments mêmes, l'autre est dépensée pour l'alimentation du chaud de l'âme, et l'autre, échauffée et atténuée, est expulsée à travers la peau. Les choses douces, les grasses, les onctueuses sont remplissantes, parce que, sous un petit volume, elles sont susceptibles d'une grande diffusion ; échauffées et s'épandant, elles rassasient le chaud dans le corps et le calment. Les choses acides, âcres, astringentes, acerbes, grossières, sèches, ne remplissent pas, parce qu'elles ouvrent et mondifient les orifices des veines ; et les unes en séchant, les autres en mordant, les autres en resserrant, font frissonner l'humide qui est dans la chair et le contractent en un petit volume ; de la sorte, le vide devient grand dans le corps. Quand donc vous voulez remplir avec peu ou vider avec beaucoup, vous emploierez de telles choses. Toutes les choses fraîches donnent plus de force que les autres par cela qu'elles sont plus près du vivant ; les choses vieilles et faites évacuent plus que les fraîches, parce qu'elles sont plus près de la corruption. Les choses crues donnent des gargouillements et des rapports parce que l'office qui doit être rempli par le feu l'est

φεpὰ pro στρυφνὰ θ. — [12] δυσκόμιστα θ. – στόμια θ. — [13] τὰ δὲ θ. – καὶ pro τὰ δὲ vulg. – φρύξαι K. – συστῆναι θ. – συστῆσαι vulg. – στῆσαι J. – ὄγκον ἐποίησε θ. — [14] τὸ om. J. – ενον (sic) pro κενὸν θ. – πολὺ Eθ. – ὅταν θ. – οὖν EKθ. – βούλῃ om., restit. al. manu H. – τοῖσι om. θ. – τούτοισι E. – χρῆσθαι θ. — [15] πλείω EIJKP′, Lind., Mack. – παρέχεται πλείω θ. – ἐγγεῖον (bis) θ. – ἕωλα H.

Τὰ [1]δὲ ἔνωμα στροφώδεα καὶ ἐρευγμώδεά ἐστι, διότι [2]ἃ δεῖ τῷ πυρὶ κατεργασθῆναι, ταῦτα ἡ κοιλίη διαπρήσσεται ἀσθενεστέρη ἐοῦσα [3]τῶν ἐσιόντων. Τὰ δὲ ἐν τοῖσιν ὑποτρίμμασιν ὄψα σκευαζόμενα καυσώδεα καὶ ὑγρὰ, ὅτι λιπαρὰ καὶ πυρώδεα καὶ θερμὰ [4]καὶ ἀνομοίους τὰς δυνάμιας ἀλλήλοισιν ἔχοντα ἐν τῷ αὐτέῳ ἵζει. Τὰ δὲ ἐν ἅλμῃ [5]ἢ ὄξει βελτίω καὶ οὐ καυσώδεα.

57. Περὶ δὲ [6]λουτρῶν ὧδε ἔχει· ὕδωρ πότιμον ὑγραίνει καὶ ψύχει, δίδωσι γὰρ τῷ σώματι ὑγρασίην· τὸ [7]δὲ ἁλμυρὸν λουτρὸν θερμαίνει καὶ ξηραίνει, φύσει γὰρ [8]ἐὸν θερμὸν ἕλκει ἀπὸ τοῦ σώματος τὸ ὑγρόν. [9]Τὰ δὲ θερμὰ λουτρὰ νῆστιν μὲν ἰσχναίνει καὶ ψύχει· φέρει γὰρ ἀπὸ τοῦ σώματος τὸ ὑγρὸν τῇ θερμασίῃ· κενουμένης [10]δὲ τῆς σαρκὸς τοῦ ὑγροῦ, ψύχεται τὸ σῶμα· βεβρωκότα δὲ θερμαίνει καὶ ὑγραίνει, διαχέοντα [11]τὰ ὑπάρχοντα ἐν τῷ σώματι ὑγρὰ ἐς πλείονα ὄγκον. Ψυχρὰ δὲ [12]λουτρὰ τοὐναντίον· κενῷ μὲν τῷ σώματι δίδωσι θερμόν τι ψυχρὸν ἐόν· βεβρωκότος δὲ ἀφαιρέει ὑγροῦ ἐόντος ξηρὸν ἐὸν, καὶ πληροῖ τοῦ ὑπάρχοντος ξηροῦ. Ἀλουσίη ξηραίνει καταναλισκομένου τοῦ ὑγροῦ, [13]ὡσαύτως δὲ καὶ ἡ ἀνηλειψίη.

58. [14]Λίπος δὲ θερμαίνει καὶ ὑγραίνει καὶ μαλάσσει. Ἥλιος δὲ καὶ πῦρ ξηραίνει διὰ τάδε· θερμὰ ἐόντα καὶ ξηρὰ, ἕλκει [15]ἐκ τοῦ σώματος τὸ ὑγρόν. Σκιὴ δὲ καὶ ψύχεα [16]τὰ μέτρια ὑγραίνει, δίδωσι γὰρ μᾶλλον ἢ λαμβάνει. Ἱδρῶτες πάντες ἀπιόντες [17]καὶ ξηραίνουσι καὶ

[1] Δ' EHK. – ἔναιμα EP'. – στροφόδεα (sic) θ. – τροφώδεα vulg. – Mack dit que θ a τροφώδεα. — [2] ἃ θ, Zwing., Lind., Mack. – ἃ om. vulg. – Ante δεῖ addit μὲν al. manu, sine ἃ J. – κατεργάζεσθαι θ. – ἀσθενεστέρη θ. – ἀσθενεστέρα vulg. — [3] τῶν ἐσιόντῶν ἐσιόντων (sic) H. – δ' EHKθ, Mack. – τοῖς θ. — [4] καὶ ἀνόμοια ἐς τὰς δυνάμιας ἀλλήλοισιν αὖτις ἔχοντα θ. – Mack dit que θ a ἀνομίας ἐς, sans parler du reste. – ἀνομοίας HIJK. – ἀνομίους Ald., Frob. – αὐτῷ EHθ. – δ' EHKθ. — [5] ἢ ὄξει θ. – ἢ ὄξει om. vulg. — [6] λουτροῦ E. — [7] δ' θ. — [8] ἔχον EHIJKQ', Zwing. in marg., Lind. – ἔχον τὸ θερμὸν θ, Mack. — [9] τὰ θερμὰ δὲ E. – λοετρὰ νήστην θ. — [10] γὰρ pro δὲ θ. — [11] τὰ om. θ. – ὑπάρχοντα Lθ, Mack. – ὑπερέχοντα vulg. – ὑγρὰ θ. – ὑγρὰ om. vulg. – ἐς θ, Lind. – εἰς vulg. — [12] λοετρὰ θ. – κενῷ (κενεῷ Lind.) μὲν τῷ σώματι δίδωσι θερμόν τι (addunt καὶ E, H al. manu, KL) ψυχρόν (ὑγρόν Lind.)· βεβρωκότι δὲ ἀφαιρέεται ὑγροῦ ἐόντος καὶ πληροῖ ψυχρὸν (ψυχρὸν πληροῖ J) ἐὸν τοῦ ὑπάρχοντος (ὑπερέχοντος L; ὑπέρχοντος (sic) Lind.) ξηροῦ vulg. – κένωσιν μὲν τῷ σώματι δίδωσι θερμῷ ἐόντι ψυχρὸν ἐόν· βεβρωκότος δὲ ἀφαιρέει θερμοῦ ἐόντος, καὶ πληροῖ ψυχροῦ ἐόντος τοῦ ὑπάρχοντος ὑγροῦ θ. – Le texte est altéré aussi bien dans θ que dans vulg. Cependant le sens est déterminé par opposition : le bain chaud, à jeun, atténue et refroidit; le bain froid,

par le ventre, qui est plus faible que les substances ingérées. Les préparations à la sauce causent de l'ardeur et de l'humidité, parce que des choses grasses, ardentes, chaudes et ayant des propriétés différentes sont réunies ensemble. Les préparations à la saumure ou au vinaigre valent mieux et ne causent pas d'ardeurs.

57. (*Des bains.*) Les bains se comportent ainsi : l'eau potable humecte et rafraîchit, car elle donne au corps de l'humidité. Le bain salé échauffe et sèche ; car, étant naturellement chaud, il attire l'humide hors du corps. Les bains chauds, à jeun, atténuent et rafraîchissent, car ils ôtent au corps l'humide par la chaleur ; or, la chair étant vide de l'humide, le corps se rafraîchit ; après le repas ils échauffent et humectent, dilatant en un plus grand volume ce qui est dans le corps. Les bains froids ont une action contraire : au corps à jeun, ils donnent, étant froids, quelque chose de chaud ; au corps plein de nourriture, lequel est humide, ils font, étant secs, subir une déperdition et le remplissent du sec qu'ils ont. S'abstenir de bain dessèche par la consommation de l'humide ; de même, s'abstenir d'onctions.

58. (*Des onctions ; du soleil et du feu ; de l'ombre et du froid ; des sueurs ; du coït.*) L'onction échauffe, humecte et amollit. Le soleil et le feu dessèchent par cette raison : étant chauds et secs, ils attirent l'humide hors du corps. L'ombre et les froids modérés humectent, car ils donnent plus qu'ils ne prennent. Toutes les sueurs desséchent et atténuent, l'humide

à jeun, faisant le contraire, doit emplir et échauffer. Le bain chaud, après le repas, échauffe et humecte ; le bain froid, après le repas, doit refroidir et dessécher. C'est d'après cela que j'ai fait les changements, fort téméraires, je le confesse. — [13] καὶ ἀναλοιφίη (ἀναληφίη H ; ἀναλειφίη K ; ἀναλιψίη θ) ὡσαύτως EHKθ. – ἀναλειφίη vulg. – Mack dit que θ a ἀναλειφίη ; mais ma collation porte ἀναλιψίη, ce qui fortifie la conjecture de Lobeck, Phryn. Ecl., p. 571, pensant qu'on doit lire ἀνηλειψίη. – δὴ pro δὲ GI, Frob., Zwing. — [14] λίπος θ. – λίπη vulg. – λίπει EH. – δὲ om. θ. – καὶ τὸ πῦρ P'. — [15] ἐκ EFGHKθ, Zwing. in marg., Lind., Mack. – ἐκ om. vulg. – τὰ ὑγρὰ θ. – σκιὴ θ. – σκιαὶ K. – σκιὰ vulg. – ψύχη θ. — [16] τὰ om. θ. – ὑπιόντες K. — [17] καὶ ἰσχν. καὶ ξηραίνουσιν θ.

ἰσχναίνουσιν, ἐκλείποντος τοῦ ὑγροῦ ἐκ τοῦ σώματος. Λαγνείη ἰσχναίνει [1] καὶ ὑγραίνει καὶ θερμαίνει· θερμαίνει μὲν διὰ τὸν πόνον καὶ τὴν ἀπόκρισιν τοῦ ὑγροῦ, ἰσχναίνει δὲ διὰ [2] τὴν κένωσιν, ὑγραίνει δὲ διὰ τὸ ὑπολειπόμενον ἐν τῷ σώματι τῆς συντήξιος [3] τῆς ὑπὸ τοῦ πόνου.

59. Ἔμετοι ἰσχναίνουσι διὰ τὴν κένωσιν τῆς τροφῆς, οὐ μέντοι ξηραίνουσιν, ἢν [4] μή τις τῇ ὑστεραίῃ θεραπεύῃ ὀρθῶς, ἀλλ' ὑγραίνουσι μᾶλλον διὰ τὴν [5] πλήρωσιν καὶ διὰ τὴν σύντηξιν τῆς σαρκὸς [6] τὴν ὑπὸ τοῦ πόνου· ἢν δέ τις ἐάσῃ ταῦτα καταναλωθῆναι τῇ ὑστεραίῃ [7] ἐς τὴν τροφὴν τῷ θερμῷ, καὶ τῇ διαίτῃ ἡσύχως προσάγῃ, ξηραίνουσιν. Κοιλίην δὲ συνεστηκυῖαν [8] λύει ἔμετος, καὶ διαχωροῦσαν μᾶλλον τοῦ καιροῦ ἵστησι, τὴν μὲν διυγραίνων, [9] τὴν δὲ ξηραίνων· ὁκόταν μὲν οὖν στῆσαι βούλῃ, τὴν ταχίστην φαγόντα χρὴ ἐξεμέειν, [10] πρὶν ἂν διυγρανθῆναι τὸν σῖτον καὶ κατασπασθῆναι κάτω, καὶ τοῖσι στρυφνοῖσι καὶ τοῖσιν αὐστηροῖσι σιτίοισι μᾶλλον [11] χρέεσθαι· ὁκόταν δὲ λῦσαι τὴν κοιλίην βούλῃ, ἐνδιατρίβειν ἐν τοῖσι σιτίοισιν ὡς πλεῖστον χρόνον [12] ξυμφέρει, καὶ τοῖσι δριμέσι καὶ ἁλμυροῖσι καὶ λιπαροῖσι καὶ γλυκέσι [13] σιτίοισι καὶ πόμασι χρέεσθαι.

60. Ὕπνοι δὲ νῆστιν μὲν ἰσχναίνουσι [14] καὶ ψύχουσιν, ἢν μὴ μακροὶ ἔωσι, κενοῦντες τοῦ ὑπάρχοντος ὑγροῦ· [15] ἢν δὲ μᾶλλον, ἐκθερμαίνοντες συντήκουσι τὴν σάρκα, καὶ διαλύουσι τὸ σῶμα, καὶ ἀσθενὲς [16] ποιέουσι· βεβρωκότα δὲ θερμαίνοντες ὑγραίνουσι, τὴν τροφὴν ἐς τὸ

[1] Καὶ θερμ. καὶ ὑγραίνει θ. – ὑγροῦ L, Zwing. in marg., Lind., Mack. – ψυχροῦ vulg. – D'après Mack θ a ὑγροῦ; ma collation n'en dit rien. — [2] τὴν HKθ, Mack. – τὴν om. vulg. – λειπόμενον θ. — [3] τῆς θ. – τῆς om. vulg. – ἀπὸ θ. – ἔμετοι δὲ θ, Mack. – κένωσι (sic) θ. – Ante τροφῆς addit σαρκὸς θ. – μέν τι I. — [4] μὴ om. Zwing., Lind. – Cornarius et Foes omettent la négation dans leurs traductions. – μὲν pro μὴ K', Mack. – τι pro τις J. – ὑστερέῃ (bis) J. – θεραπεύσῃ θ. – ἀλλὰ EHK. – μᾶλλον θ. – μᾶλλον om. vulg. — [5] πίκρωσιν θ. – σύμπηξιν GIJ. – σύντηξι (sic) θ. — [6] τῆς GIJ. – ὑπὸ EKθ. – ἀπὸ vulg. – ἐπὶ Zwing. in marg. – ἀναλωθῆναι θ. — [7] Ante ἐς addit δὲ vulg. – δὲ om. EFGHIJKθ, Ald., Zwing., Lind., Mack. – προσάγει GIJ, Ald. – προσαγάγῃ θ. — [8] διαλύει θ. – διαχωρέουσαν Lind. — [9] τὴν δὲ ξ. om., restit. al. manu H. – ἀντισπῶν pro ξηραίνων θ. – ὅταν GI. – βούλῃ θ. – βούληται vulg. – βούληταί τις K', Mack. – ἐμέειν θ. — [10] πρὶν ἂν ὑγρὸν ἐὸν τὸ σιτίον καταβιβασθῇ κάτω θ. – ἂν om. EHK. – διυγρηνθῆναι HK, Frob., Zwing. – τὸν EHIJ. – τὸ vulg. – καὶ κατασπ. EGHJK, Ald., Zwing., Lind., Mack. – καὶ om. vulg. — [11] χρῆσθαι· ὅταν θ. – βούλῃ θ. – βούληται vulg. — [12] σ. EHKθ. – ξυμφέρειν J. – τοῖσι om. K. — [13] Ante σ. addit καὶ τοῖσι vulg. – καὶ τοῖσι om. θ. – χρῆσθαι θ. — [14] καὶ ψ. om. θ. – ἐῶσι E. — [15] οἱ pro ἢν EP', Lind. – ἢν δὲ μακροὶ ἔωσι μᾶλ-

s'en allant hors du corps. Le coït atténue, humecte et échauffe ; il échauffe par la fatigue et par l'excrétion du liquide ; il atténue par l'évacuation ; il humecte par ce qui est laissé, dans le corps, de la colliquation produite par la fatigue du coït.

59. (*Des vomissements ; on pourrait les appeler vomissements de précaution ; ils fesaient partie du régime des anciens.*) Les vomissements atténuent par l'évacuation de nourriture, cependant ils ne dessèchent pas à moins que le lendemain on n'emploie un traitement convenable, mais ils humectent plutôt à cause de la réplétion d'une part, et, d'autre part, à cause de la colliquation de la chair que cause la fatigue du vomissement ; mais si le lendemain on laisse ce superflu se dépenser à l'alimentation du chaud et si l'on procède graduellement à augmenter la nourriture, ils dessèchent. Le vomissement relâche le ventre resserré, et resserre le ventre trop relâché, humectant dans le premier cas, desséchant dans le second. Quand donc vous voulez arrêter le flux de ventre, faites au plus tôt prendre des aliments que le sujet revomira avant que les aliments ne soient humectés et entraînés en bas ; les aliments seront de préférence resserrants et astringents. Mais si vous voulez relâcher le ventre, il convient [*avant de provoquer le vomissement*] de faire garder les aliments aussi longtemps que possible ; les aliments et les boissons seront âcres, salés, gras et doux.

60. (*Du sommeil, des veilles, de l'inaction, du travail. Ne faire qu'un seul repas, en faire deux. De l'excès du froid ou du chaud. Des choses échauffantes sans être nutritives.*) Le sommeil, à jeun, atténue et refroidit, à moins qu'il ne soit prolongé, évacuant l'humide qui existe ; s'il est prolongé davantage, il échauffe, il fond la chair, il résout le corps et l'affaiblit. Après le repas, il échauffe et humecte, répandant la nourriture dans le corps. C'est surtout après les

λον θ, Mack. – ἐκθερμαίνον (sic), al. manu τες H. – Post σῶμα addit διαχέοντες vulg. – διαχέοντες om. θ, Mack. — [16] ποιέοντες (H, al. manu, erat prius ποιέουσι) P'Q', Lind.

σῶμα διαχέοντες· ἀπὸ [1] δὲ τῶν ὀρθρίων περιπάτων ὕπνος μάλιστα ξηραίνει. Ἀγρυπνίη δὲ ἐν μὲν τοῖσι σιτίοισι βλάπτει, οὐκ [2] ἐῶσα τὸ σιτίον τήκεσθαι· ἀσίτοισι δὲ ἰσχνασίην μέν τινα παραδίδωσι, βλάπτει δὲ ἧσσον. Ῥαθυμίη ὑγραίνει καὶ ἀσθενὲς τὸ σῶμα ποιέει· ἀτρεμίζουσα γὰρ ἡ ψυχὴ οὐκ ἀναλίσκει τὸ ὑγρὸν ἐκ τοῦ σώματος· πόνος δὲ ξηραίνει καὶ τὸ σῶμα ἰσχυρὸν ποιέει. Μονοσιτίη ἰσχναίνει καὶ ξηραίνει καὶ τὴν κοιλίην [3] ἵστησι, διότι τῷ τῆς ψυχῆς θερμῷ τὸ ὑγρὸν ἐκ τῆς κοιλίης καὶ τῆς σαρκὸς καταναλίσκεται· ἄριστον δὲ [4] τἀναντία διαπρήσσεται τῇ μονοσιτίῃ. Ὕδωρ [5] πόμα θερμὸν ἰσχναίνει, ὡσαύτως δὲ καὶ ψυχρόν. Τὸ [6] δὲ ὑπερβάλλον ψυχρὸν καὶ πνεῦμα καὶ σιτίον καὶ ποτὸν πήγνυσι τὸ ὑγρὸν [7] τὸ ἐν τῷ σώματι καὶ τὰς κοιλίας ξυνίστησι τῇ πήξει καὶ ψύξει· κρατέει γὰρ τοῦ τῆς ψυχῆς ὑγροῦ. Καὶ τοῦ θερμοῦ δὲ πάλιν αἱ ὑπερβολαὶ πηγνύουσι, [8] καὶ τοσοῦτον ὡς μὴ διάχυσιν ἔχειν. Ὁκόσα δὲ θερμαίνοντα τὸ σῶμα, τροφὴν μὴ διδόντα, κενοῖ τοῦ ὑγροῦ τὴν σάρκα [9] μηδ' ὑπερβολὴν ποιέοντα, πάντα ψύξιν τῷ ἀνθρώπῳ παραδίδωσι· κενουμένου γὰρ τοῦ ὑπάρχοντος ὑγροῦ, πνεύματος [10] ἐπακτοῦ πληρεύμενον ψύχεται.

61. Περὶ δὲ τῶν πόνων [11] ἥντινα ἔχουσι δύναμιν διηγήσομαι. Εἰσὶ γὰρ οἱ μὲν κατὰ φύσιν, οἱ δὲ διὰ βίης· οἱ μὲν οὖν κατὰ φύσιν αὐτῶν εἰσιν [12] ὄψιος πόνος, ἀκοῆς, φωνῆς, μερίμνης. Ὄψιος μὲν οὖν δύναμις [13] τοιαύτη· προσέχουσα ἡ ψυχὴ τῷ ὁρεομένῳ κινέεται καὶ θερμαίνεται· θερμαινομένη δὲ ξηραίνεται, κεκενωμένου τοῦ ὑγροῦ. Διὰ δὲ τῆς ἀκοῆς [14] ἐσπίπτοντος τοῦ ψόφου σείεται ἡ ψυχὴ καὶ πονέει,

[1] Δὲ om., restit. al. manu H. – περὶ πάντων pro περιπάτων H. — [2] ἐοῦσα, al. manu ῶ H. – ἀσίτισι (sic) E. – ἀσίτῳ θ. – ἰσχνασίην μέν τινα παραδίδωσι EHK (θ, δίδωσι), Zwing. in marg., Lind., Mack. – ἰσχναίνει μὲν vulg. — [3] δὲ ἵστησι HK. – καταναλίσκει θ. — [4] τοὐναντία I. – τουναντίον J. – τὰ ἐναντία θ. – τῇ om. (E, restit. al. manu) HKθ. – τῆς μονοσιτίης FGIJ. — [5] πολὺ pro πόμα θ. – θερμὸν ἰσχναίνει δὲ (δὲ om. θ) πάντα (πάντη E, Zwing. in marg.) καὶ (addit πάντων καὶ Zwing. in marg.) ψυχρὸν ὡσαύτως EHKθ, Zwing. in marg. – ἰσχναίνει πάντη ὡσαύτως Q'. — [6] δ' EHKθ. – τὸ σιτίον vulg. (σιτίοις, al. manu τὸ σιτίον E). – τὸ om. HKθ. – τὸ ποτὸν vulg. – τὸ om. EHKθ. — [7] τῷ pro τὸ H. – τῶ EHIJKθ, Mack. – τῷ om. vulg. – συνίστησι EHIJKθ. – τῇ ψύξει καὶ τῇ πήξει θ. – τῇ ψύξει καὶ πήξει EHK. – ψύχει J. – πάλιν om. (H, restit. al. manu) P'θ. — [8] οὕτως ὥστε μὴ pro καὶ τοσοῦτον ὡς μὴ EHKP'Q'θ, Zwing. in marg. – διάσχυσιν (sic) θ. – ὅσα θ. — [9] μηδὲ IJ. – μὴ pro μηδ' θ. – ποιοῦντα θ. – πάντα θ. – πάντα om. vulg. – ψῦξι (sic) θ. – κενουμένου θ, Mack. – κινουμένου vulg. – κειμένου H. — [10] ἐπακτοῦ (E, al. manu ὑπ' αὐτοῦ) HIJ

promenades du matin que le sommeil dessèche. Les veilles sont nuisibles après le repas, ne permettant pas à l'aliment de se fondre ; à jeun, elles produisent, il est vrai, une certaine atténuation, mais elles sont moins nuisibles. L'inaction humecte le corps et l'affaiblit ; car l'âme, demeurant immobile, ne dissipe pas le liquide du corps. Le travail dessèche le corps et le fortifie. Ne faire qu'un seul repas [*celui du soir*] atténue, dessèche et resserre le ventre parce que le chaud de l'âme dissipe l'humide du ventre et de la chair ; faire de plus le repas du matin agit d'une manière opposée. L'eau chaude, en boisson, atténue ; il en est de même de l'eau froide. L'excès du froid soit dans l'air soit dans les aliments soit dans les boissons coagule l'humide qui est dans le corps et resserre le ventre par la coagulation et le refroidissement ; car l'humide de l'âme est surmonté. D'autre part l'excès du chaud coagule aussi, et à tel point, qu'il n'y a plus de diffusion consécutive. Les choses qui, échauffant le corps et ne donnant pas de nourriture, enlèvent l'humide à la chair, même sans excès, procurent du refroidissement au corps ; en effet l'humide existant est évacué, l'air est appelé et remplit le corps, qui se refroidit.

61. (*Des exercices ; exercices naturels.*) Les exercices ont des propriétés que je vais expliquer. Les uns sont naturels ; les autres sont violents. Les exercices naturels sont ceux de la vue, de l'ouïe, de la voix, de la pensée. Voici l'influence de la vue : l'âme s'attachant à ce qu'elle voit se meut et s'échauffe ; échauffée, elle se dessèche à cause de la déperdition de liquide. Par l'ouïe, quand un son y arrive, l'âme est secouée, elle se travaille ; se travaillant, elle s'échauffe et se dessèche. Dans

Kθ, Zwing. in marg., Mack. – ἐπεισακτοῦ Lind. – ὑπ' αὐτοῦ vulg. – πληρούμενον vulg. – πληρεύμενον θ. – πληρούμενος Mack. – Mack dit que θ a πληρούμενος. — [11] ἥν τινα H. – ἔχουσι Kθ. – ἔχωσι EHI. – ἔχω J. – ἔχει vulg. – ὧδε χρὴ γινώσκειν pro διηγ. EHKP'Q' (θ, γιγνώσκειν), Zwing. in marg., Lind., Mack. – βίας θ. – βίην EP'. — [12] Ante ὄψιος addit οἱ δὲ θ. — [13] τοιῆδε (sic) θ. – ἡ θ. – ἡ om. vulg. – ψυχῇ HJ. – ὁρατῷ κεινέεται θ. – κενουμένου EHKθ. – κενωμένου (sic) G, Frob. – κινουμένου J. — [14] εἰσπίπτοντος θ. – εἴεται (sic) θ.

πονέουσα δὲ θερμαίνεται καὶ ξηραίνεται. [1]Ὁκόσα μεριμνᾷ ἄνθρωπος, κινέεται ἡ ψυχὴ ὑπὸ τουτέων καὶ θερμαίνεται καὶ ξηραίνεται, καὶ τὸ ὑγρὸν καταναλίσκουσα πονέει, [2]καὶ κενοῖ τὰς σάρκας, καὶ λεπτύνει τὸν ἄνθρωπον. Ὁκόσοι δὲ πόνοι φωνῆς, [3]οἷον λέξις ἢ ἀνάγνωσις ἢ ᾠδὴ, πάντες οὗτοι κινέουσι τὴν ψυχήν· κινεομένη δὲ ξηραίνεται καὶ θερμαίνεται, καὶ τὸ ἐν τῷ σώματι ὑγρὸν καταναλίσκει.

62. Οἱ δὲ περίπατοι κατὰ φύσιν μὲν εἰσὶ, καὶ [4]οὗτοι μάλιστα τῶν λοιπῶν, ἔχουσι δέ τι βίαιον. Δύναμις [5]δὲ αὐτέων ἑκάστων ἐστὶ τοιήδε· ὁ ἀπὸ δείπνου περίπατος ξηραίνει τήν τε κοιλίην καὶ τὸ σῶμα, καὶ τὴν γαστέρα [6]οὐκ ἐᾷ πίειραν γενέσθαι διὰ τάδε· κινευμένου τοῦ ἀνθρώπου, θερμαίνεται καὶ τὸ σῶμα καὶ τὰ σιτία· ἕλκει οὖν τὴν ἰκμάδα ἡ σὰρξ, καὶ οὐκ [7]ἐᾷ περὶ τὴν κοιλίην ξυνίστασθαι· τὸ μὲν οὖν σῶμα πληροῦται, ἡ δὲ κοιλίη λεπτύνεται. Ξηραίνεται δὲ διὰ τάδε· [8]κινευμένου τοῦ σώματος καὶ θερμαινομένου, τὸ λεπτότατον τῆς τροφῆς καταναλίσκεται, τὸ μὲν ὑπὸ τοῦ ξυμφύτου θερμοῦ, [9]τὸ δὲ σὺν τῷ πνεύματι ἀποκρίνεται ἔξω, τὸ δὲ καὶ διουρέεται· ὑπολείπεται δὲ τὸ ξηρότατον ἀπὸ τῶν σιτίων [10]ἐν τῷ σώματι, ὥστε τὴν κοιλίην ἀποξηραίνεσθαι καὶ τὴν σάρκα. Καὶ οἱ ὄρθριοι περίπατοι ἰσχναίνουσι, καὶ τὰ περὶ τὴν κεφαλὴν κοῦφά [11]τε καὶ εὐαγέα καὶ εὐήκοα παρασκευάζουσι, καὶ τὴν κοιλίην λύουσιν· ἰσχναίνουσι μὲν, [12]διότι κινούμενον τὸ σῶμα θερμαίνεται, καὶ τὸ ὑγρὸν λεπτύνεται καὶ καθαίρεται, τὸ μὲν ὑπὸ τοῦ πνεύματος, τὸ δὲ [13]μύσσεταί τε καὶ χρέμπτεται, τὸ [14]δὲ ἐς τὴν τροφὴν τῷ τῆς ψυχῆς θερμῷ καταναλί-

[1] Ὅσα δὲ μεριμνὰ (sic) ἄνθρωπος, κεινέεται ἡ ψυχὴ ὑπὸ τούτων καὶ θερμαίνεται θ. – ὀκόσα (addunt δὲ Lind.; δ' Mack) ἐν μερίμνῃ ἀνθρώποισι γίνεται, ἡ ψυχὴ καὶ ὑπὸ τουτέων θερμαίνεται vulg. — [2] καὶ κενοῖ τὰς σάρκας καὶ λεπτύνει τὸν ἄνθρωπον θ. – καὶ λ. τὰς σ. καὶ κενοῖ τ. ἄνθ. vulg. — [3] οἷον om. (restit. al. manu H) θ. – ἢ λέξιες ἢ ἀναγνώσιες ἢ ᾠδαὶ θ. – κεινέουσι τ. ψ. κεινεομένη θ. – κινουμένη vulg. – θερμαίνεται καὶ ξηραίνεται Eθ. – ἐν τῷ σώματι om. (H, restit. al. manu) θ. – ἀναλίσκει θ. — [4] Post οὗτοι addit ἅπαντες, sed punctis notatum I. — [5] δ' EHKθ. – αὐτῶν θ. – ἑκάστων θ. – ἑκάστων om. vulg. – ἐστὶ om. θ. – τοιάδε IJ. – τοιῆδε Ald. – ὁ om. (H, restit. al. manu) θ. – γε pro τε θ. — [6] Ante οὐκ addit καὶ vulg. – καὶ om. HKLθ, Zwing. in marg., Lind. – πιειρᾶν (sic) θ. – πιερὴν L, Zwing. in marg., Lind. – πιηρὴν H. – πικρὴν vulg. – πιειρὴν Mack. – Mack dit que θ a πιειρήν. – τόδε θ. – κεινευμένου θ. – κινουμένου vulg. — [7] ἐᾶ περὶ τὴν κοιλίην συνίστασθαι θ (Mack, ξυν.). – ἐᾷ πικρὴν (πιηρὴν, al. manu πικρὴν H; πιερὴν L, Zwing. in marg., Lind.) κοιλίην ξυνίστασθαι (συν. EHK) vulg. — [8] κεινευμένου θ. – κινουμένου vulg. – τοῦ om. θ. – τὸ δὲ λεπτότατον H. – τῆς EHKP'θ, Mack. – τῆς

les pensées qui occupent l'homme, l'âme se meut, s'échauffe et se dessèche; consumant l'humide, elle se travaille, vide les chairs, atténue le corps. Les exercices de la voix, tels que le discours, la lecture, le chant, meuvent tous l'âme; celle-ci, étant mue, se dessèche, s'échauffe et consume l'humide du corps.

62. (*De la promenade.*) Les promenades sont, elles aussi, naturelles, et les plus naturelles de tous les autres exercices qui restent; cependant elles ont quelque chose de violent. Les propriétés en sont telles : la promenade après le dîner dessèche et le ventre et le corps et ne permet pas au ventre de devenir gras; voici pourquoi : l'homme se mouvant, le corps et les aliments s'échauffent; donc la chair attire l'humeur qu'elle ne laisse pas s'accumuler autour du ventre; ainsi le corps se remplit, et le ventre s'atténue. D'autre part la dessiccation se produit ainsi : le corps se mouvant et s'échauffant, la partie la plus ténue de la nourriture se consume tant par la chaleur innée que par le souffle, qui, sortant, en emporte avec lui, et par l'urine, qui en emmène. Il reste donc dans le corps la partie la plus sèche des aliments, de sorte que le ventre et la chair se dessèchent. Les promenades du matin aussi dessèchent; elles rendent les parties de la tête légères et alertes et l'ouïe claire; elles relâchent le ventre; elles dessèchent parce que le corps en mouvement s'échauffe et que l'humide s'atténue et s'en va, partie par le souffle, partie avec le moucher et le cracher, partie en consommation pour alimenter le chaud de l'âme; elles relâchent le ventre, parce que, le ventre étant

om. vulg. -ὑπὸ θ. -ἀπὸ vulg.-συμφύτου θ. —[9] τῷ pro τὸ H.-οὐρέεται vulg. -διουραίεται θ. —[10] ἐν τῷ σώματι θ. -ἐν τ. σ. om. vulg. -τῇ κοιλίῃ (τὴν κοιλίην, H al. manu τῇ κοιλίῃ, Jθ) ἀποξηραίνεσθαι (addit καὶ θ) τὴν σάρκα vulg. —[11] τε om. JKθ. -τὰ pro τε καὶ HI, Ald. -εὐπαγέα vulg. -εὐπαγῆ θ. -εὐαγέα Zwing., Foes in not., Lind., Mack. -Mack dit que θ a εὐαγέα. -Il paraît bien qu'il faut lire εὐαγέα, comme plus bas εὐαγέες. —[12] ὅτι θ. -κεινούμενον θ. -κινούμενον Mack. -κενούμενον vulg. —[13] βήττεται EKQ'. -βύττεται Zwing. in marg. -μύττεται vulg. -μύσσεται θ. -τε om. Kθ. —[14] δ' EGHIJK, Ald., Zwing., Lind.

σκεται· τὴν δὲ κοιλίην λύουσι, διότι θερμὴ ἐοῦσα, τοῦ [1]ψυχροῦ πνεύματος ἐσπίπτοντος ἄνωθεν, ὑποχωρέει τὸ θερμὸν τῷ ψυχρῷ. Κοῦφα δὲ τὰ περὶ τὴν κεφαλὴν [2]ποιέει διὰ τάδε· ὅταν κενωθῇ ἡ κοιλίη, ἕλκει ἐς ἑωυτὴν ἔκ τε τοῦ ἄλλου σώματος καὶ [3]ἐκ τῆς κεφαλῆς τὸ ὑγρὸν θερμὴ ἐοῦσα· κενουμένης δὲ τῆς κεφαλῆς, ἀποκαθαίρεται ἥ [4]τε ὄψις καὶ ἡ ἀκοή· καὶ γίνονται εὐαγέες οἱ ἄνθρωποι. Οἱ [5]δὲ ἀπὸ τῶν γυμνασίων περίπατοι καθαρὰ τὰ σώματα παρασκευάζουσι, καὶ ἰσχναίνουσιν, οὐκ [6]ἐῶντες τὴν σύντηξιν τῆς σαρκὸς τὴν ὑπὸ τοῦ πόνου [7]ξυνίστασθαι, ἀλλ' ἀποκαθαίρουσιν.

63. Τῶν δὲ δρόμων δύνανται οἱ μὲν μακροὶ καὶ καμπτοὶ, ἐξ ὀλίγου προσαγόμενοι, θερμαίνοντες τὴν σάρκα, συνεψεῖν καὶ διαχέειν, [8]καὶ τὴν δύναμιν τῶν σιτίων τὴν ἐν τῇ σαρκὶ καταπέσσουσι, βραδύτερά τε [9]καὶ παχύτερα τὰ σώματα παρασκευάζουσι τῶν τροχῶν· [10]τοῖσι δὲ πολλὰ ἐσθίουσι ξυμφορώτεροι, καὶ χειμῶνος μᾶλλον ἢ θέρεος. Οἱ [11]δὲ ἐν τῷ ἱματίῳ δρόμοι τὴν μὲν δύναμιν τὴν αὐτὴν ἔχουσι, μᾶλλον δὲ διαθερμαίνουσι, καὶ ὑγρότερα τὰ σώματα ποιέουσιν, [12]ἀχροώτερα δὲ, διότι οὐκ ἀποκαθαίρει προσπῖπτον τὸ πνεῦμα τὸ εἰλικρινὲς, ἀλλ' ἐν τῷ αὐτῷ ἐγγυμνάζεται πνεύματι· συμφέρει οὖν [13]τοῖσι ξηροῖσι καὶ τοῖσι πολυσάρκοισιν, ὅστις καθελεῖν τὴν σάρκα βούλεται, καὶ τοῖσι πρεσβυτέροισι [14]διὰ ψύξιν τοῦ σώματος. Οἱ δὲ δίαυλοι καὶ [15]ὑπηέριοι ἵπποι τὴν μὲν σάρκα ἧσσον διαχέουσιν, ἰσχναίνουσι δὲ μᾶλλον, διότι τοῖς [16]ἔξω τῆς ψυχῆς μέρεσιν οἱ πόνοι ὄντες ἀντισπῶσιν ἐκ τῆς σαρκὸς τὸ ὑγρὸν καὶ τὸ σῶμα λεπτύνουσι καὶ ξηραίνουσιν. Οἱ δὲ τροχοὶ τὴν μὲν σάρκα ἥκιστα [17]διαχέουσιν, ἰσχναί-

[1] Ψυχροῦ E (H, al. manu θερμοῦ) KQ'θ, Zwing. in marg., Lind., Mack. -θερμοῦ vulg. -ἐσπίπτοντος, al. manu ἐκπ H. -ἐμπίπτοντος J. -ἐπισπίπτοντος (sic) θ. — [2] ποιέουσι K', Foes in not., Lind., Mack. -ὁκόταν θ. -ἐφ' pro ἐς θ. -ἔκ τε θ. -ἐκ sine τε vulg. — [3] ἐκ θ. -ἐκ om. vulg. — [4] τε om. E. -καὶ γίνεται εὐαγὴς θ. -οἱ ἄνθρ. om. (H, restit. al. manu) θ. — [5] δ' EGHIJK, Ald. -καθαρώτατα θ. -ἰσχνὰ pro ἰσχναίνουσιν θ. — [6] ἐόντες G. -σύντηξι (sic) θ. — [7] σ. EIJKθ. -τῶν δὲ δρόμων δύνανται οἱ μὲν καμπτοὶ καὶ μακροὶ θ. -τὰ δὲ ἐκ τῶν δρόμων (τῶν δὲ δρόμων EFGHIJK, Ald.) γίνονται οἱ μὲν μακροὶ καὶ καμπτοὶ (ἄκαμπτοι, μὴ καμπτοὶ Zwing. in marg.; ἄκαμπτοι Lind., Mack) vulg. -διαχεῖν θ. -Post διαχέειν addit δύνανται vulg. -δύνανται om. θ. — [8] καὶ τῶν σ. (σίτων θ) τὴν δ. EHKθ. -τῇ om. E. -καταπέσσει θ. — [9] Ante καὶ addit καὶ παχύτερά τε J. -βαθύτερα pro παχύτερα θ. — [10] τοῖς θ. -δὲ obliter. al. manu J. -τὰ πολλὰ vulg. -τὰ om. θ. -συμφ. IJθ. -καὶ obliter. al. manu J. — [11] δ' ἐν τῷ EHKθ. -τῷ om. vulg. -θᾶσσον δὲ διαθερμαίνοντες ὑγρότερα

chaud et l'air froid y étant introduit d'en haut, le chaud cède la place au froid. Quant aux parties de la tête, elles les rendent légères de cette façon : le ventre, étant vidé, attire à soi, en raison de sa chaleur, l'humide et du reste du corps et de la tête ; la tête étant vidée, la vue et l'ouïe se purgent, et les hommes deviennent alertes. Les promenades après les exercices gymnastiques purifient le corps et l'atténuent, ne laissant pas se rassembler la colliquation de la chair que produit le travail ; c'est de la sorte qu'elles purifient.

63. (*Des exercices violents ; courses ; cavalcade ; course au cerceau.*) Des courses la longue et recourbée, augmentée graduellement, échauffe la chair et a la propriété de la cuire et de la résoudre ; elle digère la force des aliments qui est dans la chair ; elle rend le corps plus lent et plus épais que ne fait la course au cerceau ; elle convient de préférence aux gens qui mangent beaucoup, et plutôt l'hiver que l'été. La course en habit a la même propriété, mais elle échauffe davantage, rend le corps plus humide et donne moins de couleur parce que le corps n'est pas détergé par l'air pur qui le frappe, mais fait son exercice en restant dans le même air ; elle convient donc aux personnes sèches et d'embonpoint qui veulent perdre de la chair, et aux personnes d'un certain âge à cause que leur corps est froid. Les cavalcades diaules (double-stade) et en plein air relâchent moins la chair, mais atténuent davantage, parce que le travail, étant aux parties extérieures de l'âme, attire, par révulsion, hors de la chair, l'humide, atténue le corps et le dessèche. La course au cerceau dilate le moins la

θ. – ὑδρότερα Zwing. in marg. — [12] καὶ ἀχροώτερα δὲ θ. – εἰλικρινὲς E. – ἐγγυμνάζεται θ. – γυμνάζεται vulg. — [13] καὶ τοῖσι vulg. – καὶ om. θ. – τοῖς J. – καθελεῖν FHIJθ. – καθαιρεῖν vulg. (K, ead. manu καθαιλεῖν). – καθαίρειν Lind., Mack. — [14] διαψύχειν vulg. – διὰ ψύχην Zwing., Lind. – διὰ ψύξιν θ, Foes in not., Mack. — [15] ὑπηέριοι θ. – ἤπειροι vulg. – διαχέουσιν θ. – διαχέονται vulg. – διαδέχονται E (H, al. manu διαχέονται) P'Q'. — [16] εἴσω θ. – ἔσω, al. manu ἔξω H. – ἀνασπῶσιν Zwing., Lind., Mack. – ἀντισπῶντες θ. – D'après Mack θ a ἀνασπῶσιν. — [17] διαχωρέουσιν (E, al. manu, erat prius διαχέουσι) P', Lind., Mack. – D'après Mack θ a διαχωρέουσιν. Ma collation n'en fait pas mention.

νουσι [1] δὲ καὶ προσστέλλουσι τήν τε σάρκα καὶ τὴν κοιλίην μάλιστα, διότι ὀξυτάτῳ τῷ πνεύματι χρώμενοι τάχιστα τὸ ὑγρὸν ἕλκουσιν ἐφ' ἑωυτούς.

64. Τὰ δὲ παρασείσματα [2] ξηροῖσι μὲν καὶ ἐξαπίνης, ἀξύμφορα· σπάσματα γὰρ [3] ἐμποιέει διὰ τόδε· διατεθερμασμένον [4] τὸ σῶμα, τὸ μὲν δέρμα ἰσχυρῶς λεπτύνει, τὴν δὲ σάρκα ἧσσον [5] ξυνίστησι τῶν τροχῶν, κενοῖ δὲ τὴν σάρκα τοῦ ὑγροῦ. Τὰ δὲ [6] ἀνακινήματα καὶ ἀνακουφίσματα τὴν μὲν σάρκα ἥκιστα διαθερμαίνει, παροξύνει δὲ [7] τὸ σῶμα καὶ τὴν ψυχὴν, καὶ τοῦ πνεύματος κενοῖ. Πάλη δὲ καὶ [8] τρίψις τοῖσι μὲν ἔξω τοῦ σώματος παρέχει μᾶλλον τὸν πόνον, θερμαίνει δὲ τὴν σάρκα καὶ στερεοῖ καὶ αὔξεσθαι ποιέει διὰ τάδε· [9] τὰ μὲν στερεὰ φύσει τριβόμενα συνίστησι, τὰ δὲ κοῖλα αὔξεται, ὁκόσαι φλέβες εἰσί· θερμαινόμεναι [10] γὰρ αἱ σάρκες καὶ ξηραινόμεναι ἕλκουσιν ἐφ' ἑωυτὰς τὴν τροφὴν διὰ τῶν φλεβῶν, εἶτα αὔξονται. Ἀλίνδησις [11] παραπλήσια τῇ πάλῃ διαπρήσσεται, ξηραίνει δὲ μᾶλλον διὰ τὴν κόνιν καὶ σαρκοῖ ἧσσον. [12] Ἀκροχειρίη ἰσχναίνει καὶ τὰς σάρκας ἕλκει ἄνω, καὶ κωρυκομαχίη καὶ χειρονομίη τὰ παραπλήσια διαπρήσσεται. Πνεύματος δὲ κατάσχεσις τοὺς πόρους διαναγκάσαι καὶ [13] τὸ δέρμα λεπτῦναι καὶ τὸ ὑγρον ἐκ τοῦ δέρματος ἐξῶσαι δύναται.

[1] Τε pro δὲ EHK. – προσστέλλουσι θ. – διαστέλλουσι vulg. – τήν τε σάρκα EIJKθ. – τε om. vulg. – μάλιστα pro τάχιστα θ. – ἕλκουσι τὸ ὑγρὸν θ. – ἑωυτὸν G. — [2] ξηραίνουσι μὲν ἐξαπίνης, οὐκ ἐπιτήδεια δὲ (δὲ om., restit. al. manu H) καὶ ἀξύμφορα (ἀσ. IJ) vulg. – ξηροῖσι μὲν καὶ ἐξαπίνης ἀσύμφορα θ. – Les *parasismata* sont indiqués dans les dictionnaires comme signifiant une course dans laquelle on agite les bras sur les côtés du corps. Pour moi, j'y vois ces succussions dont la médecine fesait usage et qui pouvaient produire, ici comme dans les autres circonstances, ce genre de lésions appelé *ruptures* par les Hippocratiques. — [3] ἐνποιέει θ. – ἐμποιέεται vulg. – τεθερμασμένον θ. — [4] τε pro τὸ GJ. — [5] ξ. EHK, Lind. – σ. vulg. – τοῦ ὑγροῦ τὴν σάρκα EHK. — [6] κινήματα GIJL. – ἀνακεινήματα θ. – διαθερμαίνει θ. – διαθερμαίνουσι vulg. — [7] Ante τὸ addit καὶ θ. – κενοῖ θ. – κενοῦσι vulg. — [8] τρίψεις θ. – μὲν θ. – μὲν om. vulg. – τὸν πόνον μᾶλλον EHIJθ. – τόδε θ. — [9] τὰ μὲν γὰρ J. – συνίσταται Mack. – Post αὔξεται addit τῆς γοῦν σαρκὸς τὸ μὲν πυκνὸν τριβόμενον ξυνίσταται (συν. H), τὰ δὲ κοιλὰ αὔξεται vulg. – τῆς γοῦν.... αὔξεται om. EFGIJKP'θ, Lind., Mack. – καὶ ὁκόσα vulg. – καὶ ὁκόσαι EHIJK. – ὅσαι sine καὶ θ. — [10] δὲ pro γὰρ θ. – πόρων pro φλεβῶν θ. — [11] παραπλησία H. – τῇ om. EHK. – ἁπαλῇ pro τῇ πάλῃ θ. – Mack lit ἃ παλῇ pro ἁπαλῇ. – σαρκοὶ (sic) θ. – On avait dans les gymnases deux sortes de lutte, la lutte debout, et la lutte à plat dans la poussière. — [12] ἀκροχειρισμὸς θ. – ἀκροχεῖριξ (E, al. manu ρίη) GHI, Ald. – ἀκροχείριξ JK. – ἀκροχείρισις Zwing. in

chair, elle l'atténue et la contracte ainsi que le ventre surtout, parce que, précipitant le plus la respiration, elle attire l'humide le plus rapidement.

64. (*Succussions; mouvements des bras comme dans le pugilat; mouvements d'élévation; lutte debout; frictions; lutte à plat dans la poussière; lutte au poignet; corycomachie; chironomie; retenir son haleine.*) Les succussions (*voy. note* 2) ne valent rien chez les individus secs, ni pratiquées brusquement; car elles produisent des ruptures (*voy.* t. V, p. 579); voici pourquoi : le corps étant échauffé, elles atténuent considérablement la peau, elles resserrent moins la chair que la course au cerceau et en évacuent l'humide. Les mouvements des bras par lesquels on prélude au pugilat et les mouvements d'élévation échauffent le moins la chair, mais ils excitent le corps et l'âme, et évacuent le souffle. La lutte et la friction procurent plus de travail aux parties extérieures du corps, elles échauffent la chair, la solidifient et la développent pour ces raisons-ci : le frottement condense les parties naturellement compactes, et agrandit celles qui sont creuses, telles que sont les veines; les chairs, échauffées et séchées, attirent à elles la nourriture par les veines, et, de la sorte, se développent. La lutte à plat sur le sol (*voy. note* 11) agit à peu près comme la lutte debout, mais cela dessèche plus à cause de la poussière et développe moins la chair. La lutte au poignet (*voy. note* 12) atténue et attire les chairs en haut. La corycomachie (*voy. note* 12) et la chironomie (*voy. note* 12) en font autant. Retenir son haleine a la propriété d'élargir les pores, d'atténuer la peau et de chasser l'humide hors de cette membrane.

marg. – δ' ἰσχναίνει HK. – ἕλκει om., restit. al. manu H. – τὰ om. (H, restit. al. manu) θ. – La lutte au poignet était un prélude au pugilat. Les athlètes se saisissaient les doigts, et se les tordaient ou cassaient. La corycomachie était le jeu avec le corycos, sac de cuir plus ou moins grand, qui était rempli de grain ou de farine et qu'on suspendait au plafond; on poussait ce sac et on le recevait. La chironomie était le règlement des mouvements des mains, soit pour le pugilat, soit pour la danse. — [13] τὸ om. Zwing. – ἐκ τοῦ δέρματος θ. – ὑπὸ τὸ δέρμα vulg.

65. [1]Τὰ ἐν κόνει καὶ τὰ ἐν ἐλαίῳ γυμνάσια διαφέρει τοσόνδε· κόνις μὲν ψυχρὸν, ἔλαιον δὲ θερμόν· [2]ἐν μὲν τῷ χειμῶνι τὸ ἔλαιον αὐξιμώτερον, διότι τὸ ψῦχος κωλύει φέρειν ἀπὸ τοῦ σώματος· ἐν δὲ τῷ θέρει [3]τὸ ἔλαιον ὑπερβολὴν θερμασίης ποιεῦν τήκει τὴν σάρκα, ὁκόταν καὶ ὑπὸ τῆς ὥρης ἐκθερμαίνηται καὶ τοῦ ἐλαίου καὶ τοῦ πόνου. Ἡ δὲ [4]κόνις ἐν τῷ θέρει αὐξιμώτερον, ψύχουσα γὰρ τὸ σῶμα οὐκ ἐᾷ ἐς ὑπερβολὴν ἐκθερμαίνεσθαι· ἐν δὲ τῷ χειμῶνι διαψυκτικὸν καὶ κρυμνῶδες· [5]ἐνδιατρίβειν δὲ ἐν τῇ κόνει μετὰ τοὺς πόνους ἐν τῷ θέρει, ὀλίγον μὲν χρόνον ὠφελέει ψύχουσα, πουλὺν δὲ ὑπερξηραίνει καὶ τὰ σώματα σκληρὰ καὶ ξυλώδεα ἀποδεικνύει. Τρίψις ἐλαίου σὺν ὕδατι μαλάσσει καὶ οὐ [6]δεινῶς ἐᾷ διαθερμαίνεσθαι.

66. [7]Περὶ δὲ κόπων τῶν ἐν τοῖσι σώμασιν ἐγγινομένων ὧδε ἔχει· οἱ μὲν ἀγύμναστοι τῶν ἀνθρώπων ἀπὸ παντὸς κοπιῶσι πόνου· οὐδὲν γὰρ τοῦ σώματος διαπεπόνηται πρὸς [8]οὐδένα πόνον· τὰ δὲ γεγυμνασμένα τῶν σωμάτων [9]ὑπὸ τῶν ἀνεθίστων πόνων κοπιᾷ· τὰ δὲ καὶ [10]ὑπὸ τῶν συνήθων γυμνασίων κοπιᾷ, ὑπερβολῇ χρησάμενα. Τὰ μὲν οὖν [11]εἴδεα τῶν κόπων τοιαῦτά ἐστιν· ἡ δὲ δύναμις αὐτέων ὧδε ἔχει· οἱ μὲν γὰρ ἀγύμναστοι ὑγρὴν τὴν σάρκα ἔχοντες, [12]ὁκόταν πονήσωσι, θερμαινομένου τοῦ σώματος, σύντηξιν πολλὴν ἀφιᾶσιν· ὅ τι μὲν οὖν [13]ἂν ἐξιδρώσῃ ἢ ξὺν τῷ πνεύματι ἀποκαθαρθῇ, οὐ παρέχει [14]πόνον ἄλλον ἢ τῷ κενωθέντι τοῦ σώματος παρὰ τὸ ἔθος· ὅ τι δ' [15]ἂν ἐμμείνῃ τῆς

[1]Τὰ ἐν κόνι (sic) καὶ τὰ ἐν ἐλαίω θ. – ἐν κόνει (κονίῃ EHIJK, Ald.) καὶ ἐλαίῳ vulg. — [2]ἐν μὲν οὖν P', Mack. – αὐξημότερον H. — [3]τὸ θ. – τὸ om. vulg. – ποιεῦν θ. – ποιεύμενον HIJKP', Lind., Mack. – πεποιευμενον vulg. – ὅταν θ. – καὶ om. ante ὑπὸ θ. – ἐκθέρμαίνηται θ. – θερμαίνηται vulg. – ἡλίου pro ἐλαίου L. – D'après Mack καὶ τοῦ πόνου manque dans θ; ma collation ne le dit pas. — [4]Post κόνις addunt ἐγγυμνάζεται H, Ald.; ἐγγυμνάζηται E; ἐνγυμνάζεσθαι θ. – Post ἐν addunt δὲ EH, Ald. – Post τῷ addit μὲν L. – αὐξιμώτερος EFGHJ, Ald., Frob., Lind., Mack. – αὐξημοτέρη K. – εἰς (ἐς Lind.) ὑπερβολὴν θερμαίνεσθαι vulg. – ἐκθερμαίνεσθαι ἐς ὑπερβολὴν θ. – κρυμῶδες EIJKP'Q'. — [5]ἐνδιατρίβειν θ. – διατρίβειν vulg. – κόνι θ. – ἐν δὲ τῶ θέρει θ. – πουλὺν EHK, Lind., Mack – πολὺν vulg. – ξυλώδη IJ. — [6]πολλὰ pro δεινῶς θ. – Mack dit que θ a : καὶ οὐκ ἐᾷ πολλὰ διαθερμαίνεσθαι σώμασι γινομένον (sic). Mais σώμασι γινομένων pour σώμασιν ἐγγινομένων appartient à la phrase suivante comme le montre le sens et comme du reste le porte ma collation. — [7]περὶ.... ἔχει om. J. – σώμασι γινομένων θ. – ἀγυμνάσιοι θ. – πόνου κοπιῶσιν EHK (θ, κόπτωσιν sic). — [8]οὐδὲν ἄπονον θ. — [9]ἀπὸ Lind., Mack. – ἀήθων θ. — [10]ὑπὸ θ. – ἀπὸ vulg. – γυμνασιῶν (sic) J. — [11]ἰδια (sic) θ. – ταῦτα θ. – αὐτῶν θ. – γὰρ om., restit. al. manu H. – οὖν pro γὰρ θ.

65. (*Différence entre les exercices dans la poussière et les exercices avec l'huile.*) Les exercices dans la poussière et les exercices avec l'huile diffèrent ainsi : la poussière est froide, l'huile est chaude ; en hiver l'huile développe davantage parce qu'elle empêche que le froid ne fasse éprouver des déperditions au corps ; mais dans l'été l'huile, produisant un excès de chaleur, fond la chair, quand le corps est échauffé à la fois par la saison, par l'huile et par le travail. La poussière développe davantage dans l'été ; car, rafraîchissant le corps, elle ne lui permet pas de s'échauffer excessivement, mais, dans l'hiver, elle refroidit et glace. Demeurer dans la poussière après l'exercice en été, peu de temps, est utile par le rafraîchissement; longtemps, est nuisible en desséchant trop le corps et en le rendant dur comme du bois. Les frictions avec de l'huile et de l'eau amollissent et ne permettent pas un excès de chaleur.

66. (*Des courbatures.*) Les courbatures que le corps éprouve sont ainsi : Les personnes inexercées sont courbatues par tout travail ; en effet elles n'ont aucune partie du corps qui soit faite à aucun labeur. Les personnes exercées sont courbatues par les travaux inaccoutumés, ou par les exercices habituels s'ils sont poussés à l'excès. Telles sont les espèces de courbatures. Quant aux effets, voici ce qu'elles produisent : les gens inexercés, ayant la chair humide, s'échauffent quand ils travaillent, et ils éprouvent une fonte considérable ; or, ce qui est évacué par la sueur ou avec le souffle ne cause de souffrance qu'à la partie du corps qui se trouve éprouver une déperdition inaccoutumée ; mais ce qui demeure de la fonte cause de la

— [12] ὅταν θ. – πονήσωσι θ. – πονῶσι vulg. – σύντηξι (sic) θ. — [13] ἂν ἐξιδρώσῃ θ (Mack, sine ἄν). – ξυνεξιδρώσῃ (συνεξιδρώσει EIJK, Frob.; ξὺν ἰδρῶσι Zwing. in marg.) sine ἂν vulg. – Mack ne note pas dans θ ἄν, qui y est cependant et qui est en effet nécessaire. – σὺν HIJKθ. – πνεύματι θ, Mack. – σώματι vulg. — [14] πόνον ἄλλον ἢ τῷ θ, Mack. – πόνον μᾶλλον ἐν τῷ vulg. — [15] ἦν, al. manu ἂν H. – ἐμμείνῃ τῆς συντήξιος οὐ μόνον τῷ (τῷ om. Mack) κενωθέντι τοῦ σώματος παρὰ τὸ ἔθος παρέχει (addit τὸν Mack) πόνον, ἀλλὰ καὶ θ, Mack. – ἐμμένῃ τῆς ἀποκρίσιος, τοῦτο (τούτῳ Zwing. in marg.; τοῦτο om. K; οὐ pro τοῦτο EGIJQ'; οὐ τούτῳ μόνον pro τοῦτο Lind.) παρέχει τὸν πόνον, ἀλλὰ καὶ vulg.

συντήξιος, οὐ μόνον τῷ κενωθέντι τοῦ σώματος παρὰ τὸ ἔθος παρέχει πόνον, ἀλλὰ καὶ τῷ δεξαμένῳ τὸ ὑγρόν· οὐ γάρ ἐστι [1]ξύντροφον τῷ σώματι, ἀλλὰ πολέμιον. [2]Ἐς μὲν δὴ τὰ ἄσαρκα τῶν σωμάτων οὐ ξυνίσταται ὁμοίως, ἐς δὲ τὰ σαρκώδεα, ὥστε τούτοισι πόνον παρέχειν ἕως [3]ἂν ἐξέλθῃ. Ἅτε δὴ οὐκ ἔχον περίοδον, ἀτρεμίζον ἐκθερμαίνεται αὐτό τε καὶ τὰ προσπίπτοντα· ἢν μὲν οὖν πουλὺ γένηται τὸ ἀποκριθὲν, ἐκράτησε καὶ τοῦ ὑγιαίνοντος, ὥστε [4]συνεκθερμανθῆναι ὅλον τὸ σῶμα, καὶ ἐνεποίησε πυρετὸν ἰσχυρόν. Θερμανθέντος γὰρ τοῦ αἵματος καὶ ἐπισπασθέντος, [5]ταχείην ἐποίησε τὴν περίοδον τὰ ἐν τῷ σώματι, καὶ τό τε ἄλλο σῶμα καθαίρεται ὑπὸ τοῦ πνεύματος, καὶ τὸ συνεστηκὸς θερμαινόμενον λεπτύνεταί τε καὶ [6]ξυνεξωθέεται ἐκ τῆς σαρκὸς ἔξω ἐπὶ τὸ δέρμα, ὅπερ ἱδρὼς καλέεται θερμός. Τούτου [7]δ' ἀποκριθέντος, τό τε αἷμα καθίσταται ἐς τὴν κατὰ φύσιν σύστασιν, καὶ ὁ πυρετὸς ἀνίησι, καὶ ὁ κόπος παύεται μάλιστα τριταῖος. Χρὴ δὲ [8]τὸν τοιοῦτον κόπον ὧδε θεραπεύειν· πυρίῃσι καὶ λουτροῖσι θερμοῖσι διαλύοντα τὸ [9]ξυνεστηκὸς καὶ περιπάτοισι μὴ βιαίοισιν, ὡς ἀποκαθαίρωνται, [10]καὶ ὀλιγοσιτίῃσι καὶ ἰσχνασίῃσι συνιστάναι τῆς σαρκὸς τὴν κένωσιν, καὶ [11]τρίβεσθαι τῷ ἐλαίῳ ἡσυχῇ πουλὺν χρόνον, ὅκως μὴ βιαίως διαθερμαίνωνται· καὶ τοῖσι χρίσμασι [12]τοῖσιν ἱδρωτικοῖσι καὶ μαλακτικοῖσι χρίεσθαι καὶ μαλακευνεῖν ξυμφέρει. Τοῖσι δὲ γυμναζομένοισιν [13]ὑπὸ τῶν ἀνεθίστων πόνων διὰ τάδε γίνεται ὁ κόπος· ὅ τι ἂν μὴ πεπονήκῃ τὸ σῶμα, ὑγρὴν ἀνάγκη τὴν σάρκα εἶναι πρὸς τοῦτον τὸν [14]τόπον, πρὸς ὃν μὴ εἴθισται πονέειν, ὥσπερ

[1] Σύντροφον θ. – ξύμφορον (σ. HIJK) vulg. — [2] ἐς (εἰς Mack) μὲν δὴ τὰ ἄσαρκα θ, Mack. – εἰς (ἐς E, Lind.) τὰς σάρκας vulg. – συνίσταται θ. – εἰς δὲ vulg. – ἐς δὲ Eθ, Lind. – τούτοισι θ, Mack. – τουτέοις vulg. – παρέχειν θ. – παρέχει vulg. — [3] ἢν, al. manu ἂν H. – πάροδον pro περίοδον θ, Mercurialis in marg. – ἐκθερμαίνεται θ. – θερμαίνεται vulg. – οὖν om., restit. al. manu H. – πουλὺ E (H, al. manu, erat prius πουλὺν) Kθ, Lind. – πολὺ vulg. — [4] συνεκθερμανθῆναι τὸ πᾶν σῶμα θ. – συνεκθερμᾶναι vulg. – ξυνεκθερμῆναι (sic) Lind. – ἰσχυρὸν om. θ. — [5] ταχείαν θ. – Ante ἐπ. addunt καὶ G, Ald. – ἐποιήσατο θ. – τὴν pro τὰ θ. — [6] ξ. EH, Lind. – σ. vulg. – ἐξωθέεται θ. – ὑπὸ pro ἐπὶ EGHIJθ, Ald. — [7] δὲ EGHIJKθ, Ald. – κείνησι (sic) pro σύστασιν θ. — [8] τοὺς τοιούτους κόπους θ. – σκοπὸν IJ. – πυριήσει θ. — [9] σ. EHKθ. – καὶ om. EHJKθ. – D'après Mack θ a καί; ma collation dit le contraire. – Post περ. addunt τε θ, Mack. – μὴ θ, Mack. – μὴ om. vulg. – ἀποκαθαίροντα Zwing. in marg., Lind. – ἀποκαθαίρων EFGHIJK, Ald. — [10] καὶ K'θ, Mack. – καὶ om. vulg. – Ante ὀλ. addit τῇσι (τοῖσι G, Ald.; τῇσί τε Lind.) vulg. – τῇσι om. K'θ, Mack. – συνιστᾶναι H. — [11] ἀλίφεσθαι θ. – πολὺν IJ. – διαθερ-

souffrance non-seulement à la partie du corps qui a éprouvé une déperdition inaccoutumée, mais encore à celle qui a reçu cette humeur ; car cette humeur est non pas homogène mais hostile au corps. Elle ne se fixe pas aussi bien sur les parties du corps qui n'ont pas de chair, mais elle se fixe sur les parties charnues, où elle produit de la douleur jusqu'à ce qu'elle soit sortie. N'ayant pas de circulation, elle demeure immobile et s'échauffe, elle et ce qui s'y joint. Si donc l'humeur ainsi sécrétée est abondante, elle triomphe même des parties saines au point de propager la chaleur à tout le corps et provoquer une forte fièvre. En effet, le sang étant échauffé et attiré, ce qui est dans le corps prend une révolution rapide ; et, tandis que le reste du corps se purge par le souffle, l'humeur amassée, s'échauffant, s'atténue et est expulsée hors de la chair en dehors à la peau ; c'est ce qu'on nomme sueur chaude. Cette sécrétion étant opérée, le sang revient à la composition naturelle, la fièvre tombe, et la courbature cesse d'ordinaire au troisième jour. Cette courbature doit être ainsi traitée : on dissout, par des étuves, par des bains chauds et par des promenades non violentes, l'humeur amassée, afin que la purgation s'opère ; on soutient la réduction de la chair en mangeant peu et en atténuant ; on se frotte à l'huile longtemps avec douceur, afin de ne pas causer un excès de chaleur ; on fait des onctions avec les préparations sudorifiques et émollientes, et on couche sur un lit mou. Chez les gens exercés la courbature due à des travaux inhabitués se produit ainsi : quelle que soit la partie qui n'a pas travaillé, cette partie

μαίνωνται θ. – ἀναθερμαίνηται vulg. – ἀναθερμαίνεται H. – χρέμασι HIJ. – χρέμμασι (E, al. manu χρίσμασι) K. – χρίμασι Fθ. — [12] Ante τοῖσιν addit καὶ vulg. – καὶ om. θ. – ἰδιωτικοῖσι θ. – καὶ τοῖσι μαλακτικοῖσι EH. – μαλακοῖσι GJ. – καὶ μαλακτικοῖσι om. θ. – μαλακύνειν vulg. – μαλακυνεῖν θ. – Je lis μαλακευνεῖν. — [13] ἀπὸ EH!JKQ'θ, Zwing. in marg., Lind., Mack. – ὁ κόπος θ (Lind., sine ὁ). – ὁ κόπος om. vulg. – ὁκόταν (ὅτι pro ὁκόταν θ ; ὅ τι ἦν Mack) vulg. – D'après Mack, θ a ὅ τι ἦν ; cela (remplacez ἦν par ἂν) vaut mieux sans doute ; mais ma collation n'a qu'ὅτι. Toutefois il est évident qu'il faut lire ὅ τι ἂν au lieu de ὁκόταν de vulg. — [14] πόνον θ. – πονεῖν θ. – ἀγυμνάστων θ, Mack. – καὶ τῶν γυμνασίων pro ἀγυμν. vulg.

ἀγυμνάστων πρὸς ἕκαστα· τὴν [1] μὲν οὖν σάρκα ξυντήκεσθαι ἀνάγκη καὶ ἀποκρίνεσθαι καὶ συνίστασθαι ὥσπερ τῷ προτέρῳ. [2] Ξυμφέρει δὲ θεραπεύεσθαι ὧδε· τοῖσι μὲν γυμνασίοισι χρῆσθαι τοῖσι συνήθεσιν, ὅκως τὸ [3] ξυνεστηκὸς θερμαινόμενον λεπτύνηται καὶ ἀποκαθαίρηται, καὶ τὸ ἄλλο σῶμα μὴ ὑγραίνηται, μηδ' ἀγύμναστον γίνηται. Τοῖσι δὲ [4] λουτροῖσι τοῖσι θερμοῖσι ξυμφέρει καὶ τούτον χρέεσθαι, [5] καὶ τῇ τρίψει ὁμοίως ὡς καὶ τὸν πρόσθεν. Τῆς [6] δὲ πυριήσιος οὐδὲν δέεται· οἱ πόνοι γὰρ ἱκανοὶ θερμαίνοντες λεπτύνειν καὶ ἀποκαθαίρειν τὸ συστάν. Οἱ δὲ ἀπὸ τῶν [7] συνήθων γυμνασίων κόποι τόνδε τὸν τρόπον γίνονται· ἀπὸ μὲν συμμέτρου πόνου κόπος οὐ [8] γίγνεται· ὁκόταν δὲ πλείων τοῦ καιροῦ πόνος ᾖ, ὑπερεξήρηνε τὴν σάρκα· κενωθεῖσα δὲ τοῦ ὑγροῦ, θερμαίνεται [9] καὶ ἀλγέει καὶ φρίσσει καὶ ἐς πυρετὸν καθίσταται μακρότερον, ἢν μή τις ἐκθεραπεύσῃ ὀρθῶς. Χρὴ δὲ πρῶτον μὲν [10] αὐτὸν τῷ λουτρῷ μὴ σφόδρα πολλῷ μηδὲ θερμῷ ἄγαν λούεσθαι, εἶτα πίσαι αὐτὸν ἐκ τοῦ λουτροῦ μαλακὸν οἶνον, [11] καὶ δειπνεῖν ὡς πλεῖστα καὶ παντοδαπὰ σιτία, καὶ ποτῷ ὑδαρεῖ, οἴνῳ δὲ μαλακῷ χρέεσθαι πολλῷ, εἶτ' [12] ἐνδιατρῖψαι πλέω χρόνον μέχρις ἂν αἱ φλέβες πληρωθεῖσαι ἀρθῶσιν· [13] εἶτα ἐξεμεέτω, καὶ ἐξαναστάντα ὀλίγον καθεύδειν μαλακῶς· εἶτα προσάγειν ἡσυχῇ τοῖσι σιτίοισι καὶ τοῖσι πόνοισι τοῖσι συνήθεσιν [14] ἐς ἡμέρας ἕξ, ἐν ταύτῃσι δὲ καταστῆσαι ἐς τὸ σύνηθες καὶ σίτου καὶ ποτοῦ. Δύναμιν δὲ ἔχει ἡ θεραπηΐη τοιήνδε· ἀνεξηρασμένον τὸ σῶμα ἐς ὑπερβολὴν ἐξυγρῆναι

[1] Γοῦν pro μὲν οὖν θ. – Post σάρκα addit πρὸς τοῦτον τὸν πόνον θ. – συντήκεσθαι θ. — [2] σ. EHKθ. – Ante χρῆσθαι addit ὧδε θ. – συνείθεσιν θ. – ὡς θ. — [3] σ. EKθ. – μηδὲ θ. – γένηται θ. — [4] λουτροῖσι θερμοῖσι καὶ τούτοισι συμφέρει χρῆσθαι θ. — [5] καὶ om. J. – Ce καὶ manque, d'après Mack, dans θ; au contraire il figure dans ma collation. – ὅμοια ὡς καὶ τοὺς ἔμπροσθεν θ. — [6] δὲ om., restit. al. manu H. – δεῖται θ. – ἱκανῶς διαθερμαίνοντες λεπτύνουσι καὶ ἀποκαθαίρουσι θ. – συστᾶν GIθ, Ald., Frob., Zwing. – συνιστὰν H. – συνιστᾶν EK. — [7] ξυνηθέων Lind. – συνηθέων Mack. – κόποι θ, Lind., Mack. – πόνοι vulg. – τῶδε τῷ τρόπῳ EHKθ, Mack. – γίγνονται θ, Mack. — [8] κινέεται vulg. – κενέεται (sic) J. – γίγνεται θ, Mack. – ὅταν GIJθ. – πλείων GJK, Zwing., Lind., Mack. – πλεῖον vulg. – πονήσῃ pro πόνος ᾖ θ. – ὑπερεξηρῆναι θ. – ὑπερξηρῆναι, al. manu ὑπερξηραίνει H. – ὑπερξηραίνει vulg. – La leçon de θ, corrigée, est la bonne. — [9] τε καὶ EHKθ. – εἰς EHIJK. – μακρότερον καθίσταται θ. — [10] αὐτὸν θ. – αὐτὸ G. – αὐτῷ vulg. – λοῦσαι θ. – πεῖσαι θ. – πίσας vulg. – D'après Mack θ a πίσας. – μαλθακὸν θ. — [11] καὶ HKθ. – καὶ om. vulg. – παντοδαπώτατα conjicit Guill. Dindorf ad Isocr., p. IV. – Ante ποτῷ addit τῷ θ. – D'après Mack ὑδαρεῖ manque dans θ; ce mot est dans ma col-

inactive a nécessairement la chair humide, comme les gens inexercés l'ont pour tout; nécessairement aussi la chair se fondra, il y aura une sécrétion et un amas comme dans le cas précédent. Voici le traitement qu'il faut employer : on usera des exercices habituels afin que l'amas, échauffé, s'atténue et se purge, et que le reste du corps ne devienne pas humide ni ne reste inexercé. Dans ce cas aussi on se servira des bains chauds et des frictions. Il n'est aucun besoin des étuves; car les exercices suffisent, en échauffant, à atténuer et purger l'amas. Quant aux courbatures provenant des exercices habituels, elles se produisent ainsi : un exercice modéré ne cause pas de courbature ; mais, quand il dépasse la mesure, il dessèche trop la chair; celle-ci étant privée de l'humide, il y a chaleur, souffrance, frisson, et le cas en vient à une fièvre de longue durée si un traitement convenable n'est pas appliqué. D'abord il faut ne se laver ni avec trop d'eau ni avec de l'eau trop chaude, puis boire après le bain un vin mou, manger à son dîner des aliments de toute espèce et autant que possible, tremper son vin qui sera un vin mou et dont on boira beaucoup; on gardera longtemps ces aliments jusqu'à ce que les veines se remplissent et se gonflent ; alors on vomira, et, après avoir fait un tour, on dormira un peu, couché mollement. Puis on accroîtra graduellement la nourriture et les exercices habituels pendant six jours, au bout desquels on sera au taux habituel de son boire et de son manger. Ce traitement a la propriété d'humecter sans excès le corps desséché à l'excès; en effet, s'il était possible, connaissant à quel point

lation. – μαλθακῶ δ' οἴνω χρῆσθαι καὶ πολλῶ θ. — [12] ἐνδιατρίψαι πλείω χρόνον θ (Lind., χρόνον πλέω) (Mack, χρόνον πλείω). – ἐντρίψαι (ἐνδιατρίψαι, ἀνατρίψαι Zwing. in marg.) χρόνῳ πλέω (πλείω EHIJK) vulg. – μέχρι Hθ. – ἢν pro ἂν θ. – ἂν om. EHK. — [13] εἶτα (εἶτ' EHK) δὴ (δὴ om. EHKθ) ἐξεμεέτω (ἐξεμείτω θ) vulg. – ἐξαναστάντα EHKP'Q', Zwing. in marg., Lind., Mack. – ἀναστάντα vulg. – ἀναστὰς θ. – μαλθακῶς θ. — [14] εἰς HK. – ἐς om. vulg. – καταστήσεται sine δὲ θ. – δ' ἔχει HK. – θεραπηΐη EHIK. – θεραπείη vulg. – ἀνεξηρασμένον θ. – ἐξηρασμένον vulg. – ἐξηραμμένον GJ. – ἐξηραμένον IK. – εἰς HK. – ἄτερ ὑπερϐ. om. θ.

δύναται ἄτερ ὑπερβολῆς· [1]εἰ μὲν οὖν δυνατὸν ἦν, τὴν ὑπερβολὴν τοῦ πόνου γνόντα ὁκόση τίς ἐστι, τοῦ σίτου τῇ [2]ξυμμετρίῃ ἀκέσασθαι, εὖ ἂν εἶχεν οὕτω· νῦν δὲ τὸ μὲν ἀδύνατον, τὸ δὲ ῥᾴδιον· ἐξηρασμένον γὰρ τὸ [3]σῶμα, σίτων ἐμπεσόντων παντοδαπῶν, ἕλκει τὸ ξυμφέρον αὐτὸ ἑωυτῷ ἕκαστον τοῦ σώματος ἑκάστου σίτου, πληρωθὲν δὲ καὶ ὑγρανθὲν, κενωθείσης τῆς κοιλίης ὑπὸ τοῦ ἐμέτου, ἀφίησι πάλιν τὴν ὑπερβολήν· ἡ δὲ κοιλίη κενὴ ἐοῦσα ἀντισπᾷ. Τὸ μὲν οὖν ὑπερβάλλον ὑγρὸν ἐξερεύγεται ἡ σὰρξ, τὸ δὲ σύμμετρον οὐκ ἀφίησιν, [4]ἢν μὴ διὰ βίης ἢ πόνων ἢ φαρμάκων ἢ ἄλλης τινὸς ἀντισπάσιος. Τῇ δὲ προσαγωγῇ χρησάμενος καταστήσεις τὸ σῶμα ἐς τὴν ἀρχαίην δίαιταν ἡσυχῇ.

[1] Εἰ EHKθ. – ἦν vulg. – ᾖ (ᾖ om. J; ἦν I) δυνατὸν vulg. – δυνατὸν ἦν EHK θ. – τὴν ὑπερβολὴν τοῦ πόνου om. θ. – γνόντα EHIJKQ′θ, Zwing. in marg., Lind., Mack. – γνῶναι vulg. — [2] ξ. EHK, Lind. – σ. vulg. – εἶχεν οὕτω EHIJ KQ′ (θ, cum ποιῆσαι addito post οὕτω), Zwing. in marg., Lind., Mack. – εἶχε τοῦτο vulg. — [3] σῶμα τῶν ἐμπεσόντων παντοδαπῶν, ἀφ' ὧν λαμβάνει τὸ ξυμφέρον (σ. EHK) αὐτὸ ἐν (ἐν om. EHK) ἑωυτῷ vulg. – σῶμα σίτων (τῶν pro σίτων Mack) ἐνπεσόντων παντοδαπῶν ἕλκει (λαμβάνει Mack) τὸ σύμφορον (ξυμφέρον Mack) αὐτὸ ἑωυτῷ θ. — [4] εἰ θ. – ἢ φαρμάκων ἢ πόνων θ. – κατέστησε τῷ σώματι (τὸ σῶμα, al. manu τῷ σώματι H) τὴν δίαιταν ἡσυχῇ vulg. – καταστήσεις τὸ σῶμα ἐς τὴν ἀρχαίην δίαιταν ἡσυχῇ θ.

va l'excès de l'exercice, d'y remédier par la juste mesure des aliments, la chose serait parfaite; mais, de ces deux conditions, l'une est impossible, l'autre est facile à remplir. Le corps est desséché ; mais il reçoit des aliments de toute espèce, et il attire à lui ce qui lui convient, de chaque aliment pour chaque partie ; ainsi rempli et humecté, il rejette l'excès, le ventre ayant été vidé par le vomissement. De son côté le ventre, étant vide, exerce une révulsion. De la sorte, la chair se débarrasse de ce qui est excessif, mais ne laisse pas aller ce qui est dans la juste mesure, si ce n'est par la force soit des exercices soit des médicaments, soit de toute autre révulsion. En usant de gradation, vous remettrez doucement le corps à son ancien régime.

FIN DU DEUXIÈME LIVRE DU RÉGIME.

ΠΕΡΙ ΔΙΑΙΤΗΣ.

ΤΟ ΤΡΙΤΟΝ.

DU RÉGIME.

LIVRE TROISIÈME.

ARGUMENT.

Ce troisième livre est consacré principalement à l'exposition des signes qui annoncent la rupture de l'équilibre entre les aliments et les exercices, et du traitement qu'il convient d'appliquer.

Soit que les aliments l'emportent sur les exercices, soit que les exercices l'emportent sur les aliments, l'un et l'autre cas est conçu par l'auteur hippocratique comme étant une plénitude ou pléthore. Voici comment : quand les aliments sont en plus grande proportion que les exercices ne le comportent, une portion de la nourriture n'est pas admise dans le corps, cette portion en surcroît s'accumule peu à peu, et finit par créer une plénitude qui a des signes et qui est l'imminence de la maladie. Quand ce sont les exercices dont la proportion est plus grande que ne le comportent les aliments, le labeur excessif produit une fonte, une colliquation des chairs; cette fonte n'est éliminée qu'en partie par le mouvement circulaire qui s'opère dans le corps; le reste s'amasse peu à peu, et cet amas, dû il est vrai à une cause inverse, produit aussi une plénitude, dont la maladie est une conséquence prochaine. Ce sont là des explications, peu savantes sans doute, d'un fait incontestable, à savoir que trop d'aliments et trop d'exercices prédisposent, l'un comme l'autre, le sujet à devenir malade.

Les signes retracés par l'auteur hippocratique paraîtront, au premier aperçu, fugitifs et peu détaillés. Cependant, si on les considère avec quelque attention, on reconnaîtra que la plupart ne manquent pas d'une certaine signification; et l'on admettra sans beaucoup de peine que des maîtres de gymnase accoutumés à observer des gens soumis à une vie réglée et pour le manger et pour l'exercice, que des médecins formés à une pareille expérience aient acquis assez de coup d'œil pour discerner des différences délicates qui les mettaient sur la voie.

Toutefois il faut remarquer une faute générale dans tout ce traité : c'est que l'auteur n'y distingue jamais les effets directs et les effets indirects des agents hygiéniques. Or, on sait combien cette distinction est importante. Si on la fait en lisant le livre *du Régime,* on lèvera quelques unes des difficultés et contradictions que ce livre présente.

Le traitement se compose : du vomissement artificiel, qui en est un des principaux éléments ; du règlement, en plus ou en moins, des exercices et de la nourriture; de l'emploi des bains, des étuves, des frictions et des onctions. De la sorte ce traitement exigeait toujours un certain nombre de jours, et on peut le comparer, pour en donner la meilleure idée, à *l'entraînement* que l'on fait subir aux boxeurs, aux coureurs, et aux chevaux de course.

ΠΕΡΙ ΔΙΑΙΤΗΣ.

ΤΟ ΤΡΙΤΟΝ.

67. Περὶ [1]δὲ διαίτης ἀνθρωπίνης, ὥσπερ μοι καὶ πρόσθεν εἴρηται, [2]ξυγγράψαι μὲν οὐχ οἷόν τε ἐς ἀκριβείην, ὥστε πρὸς τὸ πλῆθος τοῦ σίτου τὴν [3]ξυμμετρίην ποιέεσθαι τῶν πόνων· πουλλὰ γὰρ τὰ κωλύοντα. Πρῶτον μὲν αἱ φύσιες τῶν ἀνθρώπων διάφοροι ἐοῦσαι· καὶ γὰρ [4]αἱ ξηραὶ αὐταὶ ἑωυτῶν πρὸς αὑτὰς καὶ πρὸς ἄλλα μᾶλλον καὶ ἧσσον [5]ξηραὶ, καὶ ὑγραὶ ὡσαύτως, καὶ αἱ ἄλλαι πᾶσαι· ἔπειτα [6]αἱ ἡλικίαι οὐ τῶν αὐτῶν δεόμεναι· ἔτι δὲ καὶ τῶν χωρίων αἱ θέσιες, καὶ τῶν πνευμάτων αἱ μεταβολαὶ, τῶν τε ὡρέων αἱ μεταστάσιες, [7]καὶ τοῦ ἐνιαυτοῦ αἱ καταστάσιες· αὐτῶν τε τῶν σίτων πολλὴ διαφορά· πυροί τε γὰρ πυρῶν καὶ οἶνος οἴνου καὶ τἄλλα [8]ὅσα διαιτεόμεθα, πάντα διάφορα ἐόντα ἀποκωλύει μὴ δυνατὸν εἶναι ἐς ἀκριβείην [9]ξυγγραφῆναι. Ἀλλὰ γὰρ αἱ διαγνώσιες ἔμοιγε ἐξευρημέναι εἰσὶ τῶν ἐπικρατεόντων ἐν τῷ σώματι, ἤν τε [10]οἱ πόνοι ἐπικρατέωσι τῶν σιτίων, ἤν τε τὰ σιτία τῶν πόνων, καὶ ὡς χρὴ ἕκαστα [11]ἐξακέεσθαι, προκαταλαμβάνειν τε ὑγείην, ὥστε τὰς νούσους μὴ προσπελάζειν, εἰ μή τις μεγάλα πάνυ ἐξαμαρτάνοι καὶ πολλάκις· ταῦτα δὲ φαρμάκων δέεται ἤδη, ἔστι [12]δ' ἅσσα οὐδ' ὑπὸ τῶν φαρμάκων δύναται ὑγιάζε-

[1] Δὲ EP'Q', Lind., Mack. – δὲ om. vulg. – πρόσθεν εἴρηται θ. – πρότερον εἰρέαται vulg. — [2] σ. EIJKθ. – οὐχοιονται (sic) θ. — [3] ξ. EHθ. – σ. vulg. – τῶν πόνων ποιέεσθαι EHθ. – πολλὰ EHIKJθ, Lind., Mack. — [4] αἱ om. θ. – αὗται vulg. – αὐταὶ EIJK. – πρὸς α. om. K. – αὑτὰς θ. – ἑωυτὰς vulg. – ἄλλας EFGHIJK. – ἀλλήλας θ. — [5] ξηραὶ om., al. manu ξηραί τε H. – ξηραί τε καὶ GJK. – ξηραὶ καὶ om. Ald. — [6] Ante αἱ addit καὶ vulg. – καὶ om. EHKθ. – οὐ θ. – μὴ vulg. — [7] καὶ τ. ἐ. αἱ κ. om. K. – πολλαὶ αἱ διαφοραὶ θ. — [8] οἷς pro ὅσα θ, Mack. – μὴ θ. – μὴ om. vulg. — [9] σ. IJ. – διαγνώσιες θ. – προγνώσιες vulg. – ἐμοίγε (sic) ἐξευρημέναι εἰσὶ θ. – ἐξευρημέναι ἔμοιγε sine εἰσὶ vulg. — [10] οἱ om. I. – ἐπικρατέωσι θ, Mack. – κρατέωσι vulg. – σίτων θ. – σίτα θ. — [11] ἐξαρκέεσθαι al. manu K. – προκαταμανθάνειν τε ὑγιέας τὰς φύσεις (φύσιας E, Lind.), μὴ προσπελάζειν τε τὰς νόσους (νούσους HK, Lind., Mack) vulg. – προκαταλαμβάνειν τε ὑγιείην, ὥστε τὰς νούσους προσπελάζειν θ. – Mack dit que θ a μή; cette négation manque dans ma collation, mais elle est nécessaire. – δεῖται θ. — [12] δὲ EHK. – οὐδὲ θ. – Pro ὡς habent ἣ Zwing. in marg.; ᾗ Lind.,

DU RÉGIME.

LIVRE TROISIÈME.

67. (*Difficultés qui s'opposent à une détermination rigoureuse du régime. L'auteur se félicite d'avoir découvert les signes qui montrent que les aliments l'emportent sur les exercices ou les exercices sur les aliments.*) Le régime de l'homme, ainsi que je l'ai dit précédemment, ne peut pas être exposé avec rigueur de manière qu'on proportionne exactement aux aliments les exercices. Plusieurs empêchements s'y opposent. D'abord les constitutions individuelles sont différentes ; ainsi les constitutions sèches sont plus ou moins sèches tant par rapport à elles-mêmes que par rapport au reste ; il en est de même des constitutions humides et de toutes les autres. Ensuite les âges n'ont pas les mêmes besoins. Ajoutez les positions des lieux, les changements des vents, les mutations des saisons et les constitutions annuelles. Les aliments eux-mêmes sont loin de se ressembler : le froment diffère du froment, le vin du vin ; et tout le reste qui compose notre régime, présentant des différences, empêche qu'il ne soit possible de tracer par écrit des règles rigoureusement exactes. Mais j'ai découvert les signes diagnostiques qui montrent ce qui l'emporte dans le corps, ou les exercices sur les aliments, ou les aliments sur les exercices, et les moyens de remédier à chaque cas et de prémunir la santé de manière à empêcher l'approche des maladies, à moins de fréquentes et très-grandes erreurs de régime. Mais à ce point on a déjà besoin de médicaments, et il est tel de ces cas où les médicaments même ne peuvent rendre la santé. Autant qu'il est possible de déterminer la chose, je l'ai

Mack. – εἴ τις τὰ pro ἔγγιστα θ. – ἥρου vulg. – ὀρθοῦ θ. – ὅρου EHIJKP'Q', Lind., Mack. – ὅρου, ἔργου Zwing. in marg. – οὔρου G. – ἔργου Ald. – καιροῦ Coray, Mus. Oxon. Consp., p. 17.

σθαι. Ὡς μὲν οὖν δυνατὸν εὑρεθῆναι, ἔγγιστα τοῦ ὅρου ἐμοὶ εὕρηται, τὸ [1] δὲ ἀκριϐὲς οὐδενί.

68. Πρῶτον μὲν οὖν τοῖσι πολλοῖσι τῶν ἀνθρώπων [2] ξυγγράψω ἐξ ὧν μάλιστα ἂν ὠφελοῖντο οἵτινες σιτίοισί τε καὶ πόμασι προστυχοῦσι χρέονται, πόνοισί τε [3] τοῖσιν ἀναγκαίοισιν, ὁδοιπορίῃσί [4] τε τῇσι πρὸς ἀνάγκας, θαλασσουργίῃσί τε τῇσι πρὸς τὴν συλλογὴν εὑρεθείσῃσι τοῦ βίου, [5] θαλπόμενοί τε παρὰ τὸ σύμφορον, ψυχόμενοί τε παρὰ τὸ ὠφέλιμον, τῇ τε [6] ἄλλῃ διαίτῃ ἀκαταστάτῳ χρεόμενοι. Τούτοισι δὴ [7] ξυμφέρει ἐκ τῶν ὑπαρχόντων ὧδε διαιτῆσθαι· τὸν μὲν ἐνιαυτὸν ἐς τέσσαρα μέρεα [8] διαιρέουσιν, ἅπερ μάλιστα γινώσκουσιν οἱ πολλοὶ, χειμῶνα, ἦρ, θέρος, φθινόπωρον· [9] καὶ χειμῶνα μὲν ἀπὸ πλειάδων δύσιος ἄχρι ἰσημερίης ἠαρινῆς, [10] ἦρ δὲ ἀπὸ ἰσημερίης μέχρι πλειάδων ἐπιτολῆς, θέρος δὲ ἀπὸ πλειάδων μέχρι ἀρκτούρου ἐπιτολῆς, φθινόπωρον δὲ ἀπὸ ἀρκτούρου μέχρι πλειάδων δύσιος. Ἐν μὲν οὖν τῷ χειμῶνι [11] ξυμφέρει πρὸς τὴν ὥρην, ψυχρήν τε [12] καὶ ξυνεστηκυίην, ὑπεναντιούμενον τοῖσι διαιτήμασιν ὧδε χρέεσθαι. Πρῶτον μὲν μονοσιτίῃσι χρὴ διάγειν, ἢν μὴ πάνυ [13] ξηρήν τις τὴν κοιλίην ἔχῃ· [14] εἰ δὲ μὴ, μικρὸν ἀριστῆν· [15] τοῖσι δὲ διαιτήμασι χρέεσθαι τοῖσι ξηροῖσι καὶ αὐστηροῖσι καὶ θερμαντικοῖσι καὶ συγκομιστοῖσι καὶ ἀκρήτοισιν, ἀρτοσιτέειν δὲ μᾶλλον, καὶ τοῖσιν ὀπτοῖσι τῶν ὄψων μᾶλλον ἢ [16] τοῖσιν ἑφθοῖσι χρέεσθαι, καὶ τοῖσι πόμασι μέλασιν ἀκρητεστέροισι καὶ ἐλάσσοσι, λαχάνοισι [17] δὲ ὡς ἥκιστα, πλὴν τοῖσι θερμαντικοῖσι καὶ ξηροῖσι, καὶ χυλοῖσι καὶ ῥοφήμασιν ὡς ἥκιστα· τοῖσι δὲ πόνοισι πουλλοῖσιν ἅπασι, τοῖσί [18] τε δρόμοισι καμπτοῖσιν ἐξ ὀλίγου προσά-

[1] Δ' EGHIJ, Ald., Frob. — [2] ξ. θ, Lind. – σ. vulg. – μάλιστ' EHθ. – ὠφελοῖτο E. – σίτοισί τε καὶ πόμασι θ. – τε καὶ πόμασι om. vulg. – χρῶνται θ. — [3] τοῖσιν om. θ. – ὁδοιπορίοισι G. — [4] τε om. θ. – προσανάγκῃσι vulg. – πρὸς ἀνάγκῃσι EHK. – πρὸς ἀνάγκην Lind. – πρὸς ἀνάγκας θ. – ταλασσουργίῃσι al. manu K. – τὴν om. GIJθ. – εὑρεθείσῃσι om. (H, restit. al. manu) θ. — [5] ἡλιουμένοι (sic) τε παρὰ τὸ συμφέρον θ. – τε om., restit. al. manu H. — [6] ἄλλῳ θ. – χρεώμενοι θ. — [7] σ. EHKθ. – διαιτῆσθαι EKP', Mack. – διαιτεῖσθαι, eadem manu τῇ H. – διαιτᾶσθαι vulg. – μὲν οὖν θ. – ἐς τὰ τέσσ. J. – τέσσερα θ. – μέρη E. — [8] διαιρέωσιν E (H, al. manu ου) K. – διαιρέω, ἐς ἅπερ θ. – διαιρέω, ἅπερ Mack. – χειμὼν, ἀὴρ θ. – ἦρος EHK. – ἦρα GIJ, Ald. — [9] καὶ om. EHKθ. – πληάδων (quater) θ. – ἄχρις Lind. – ἰσημερίνης ἐαρινῆς θ. – Mack dit que θ a ἰσημερίης. — [10] ἦρ (H, al. manu ἔαρ) θ, Mack. – ἔαρ vulg. – ὑπερϐολῆς pro ἐπιτολῆς θ. – δὲ Jθ, Lind. – δὲ om. vulg. – μέχρις EJK, Lind., Mack. — [11] σ. θ. – περὶ pro πρὸς J. — [12] καὶ om. FGIJ. – συν. EIK. – συνεστηκυῖαν θ. – χρῆ-

déterminée, m'approchant très-près de la limite ; la détermination rigoureuse ne peut être donnée par personne.

68. (*Règles de régime pour ceux que leurs occupations obligent à vivre irrégulièrement ; règles pour l'hiver, le printemps, l'été et l'automne.*) D'abord j'écrirai ce qui servira le plus au commun des hommes, à ceux qui usent de boissons et d'aliments les premiers venus et qui sont assujettis à des travaux nécessaires, à des marches obligées, à des navigations instituées pour rassembler de quoi vivre, gens exposés aux chaleurs qui ne sont pas bonnes, aux froids qui ne sont pas salutaires, et ayant pour tout le reste un régime irrégulier. Voici comment ils vivront dans les conditions où ils se trouvent : l'année se divise (division connue de la plupart) en quatre parties : hiver, printemps, été, automne. L'hiver est depuis le coucher des Pléiades jusqu'à l'équinoxe vernal ; le printemps, depuis l'équinoxe jusqu'au lever des Pléiades ; l'été, depuis les Pléiades jusqu'au lever d'Arcturus ; l'automne, depuis Arcturus jusqu'au coucher des Pléiades. En hiver, ayant à résister à une saison froide et contractée, il convient de vivre ainsi : d'abord on ne fera qu'un repas par jour, à moins qu'on n'ait le ventre très-sec ; dans ce cas on fera un léger déjeuner. Le régime sera sec, astringent, échauffant, de substances grossières et non mélangées. On mangera du pain de préférence [à la polenta]. Les mets seront plutôt rôtis que bouillis. Le vin sera noir, pur, en moindre quantité. On prendra peu de légumes, si ce n'est des légumes échauffants et secs. On laissera de côté les eaux d'orge et les potages d'orge. On usera de tous les exercices et beaucoup, des courses recourbées qu'on augmentera graduellement, de la lutte huilée qu'on

σθαι θ. - μονοσιτίη HIJKθ. — [13] ξηρὴν θ, Mack. - ξηρὰν vulg. - ἔχη EGHIJθ, Ald., Lind., Mack. - ἔχει vulg. — [14] ἦν θ. - ἀριστῆ FGJ, Ald. — [15] τῆσι Frob. - τῆσι δὲ τῆσι διαιτήμασι I. - ξηραντικοῖσι sine καὶ αὐστηροῖσι θ. - ἀρτοσιτίη θ. - τῶν ὄψων om. (restit. al. manu H) θ. — [16] τοῖς GJ. - τοῖσιν om. EHKP'θ. - χρέεσθαι om. (H, restit. al. manu) θ. - ἀκρατεστέροισι J. — [17] δὲ om. EHIJKθ, Ald. - Post ἥκιστα addit χρὴ θ. - πλὴν.... ἥκιστα om. (E, restit. al. manu) G. - πολλοῖσιν HIJθ, Lind. — [18] δὲ pro τε θ.

γοντα, καὶ τῇ πάλῃ ἐν ἐλαίῳ, μακρῇ, [1] ἀπὸ κούφων προσαναγκάζοντα· τοῖσί τε περιπάτοισιν ἀπὸ τῶν γυμνασίων ὀξέσιν, ἀπὸ δὲ τοῦ δείπνου βραδέσιν ἐν ἀλέῃ, [2] ὀρθρίοισί τε πολλοῖσιν ἐξ ὀλίγου ἀρχόμενον, [3] προσάγοντα ἐς τὸ σφοδρὸν, ἀποπαύοντά τε ἡσυχῇ· καὶ [4] σκληροκοιτίῃσι καὶ [5] νυκτοβατίῃσι καὶ [6] νυκτοδρομίῃσι χρέεσθαι [7] ξυμφέρει· πάντα γὰρ ταῦτα ἰσχναίνει καὶ θερμαίνει· [8] χρίεσθαί τε πλείω. Ὁκόταν δὲ ἐθέλῃ λούσασθαι, ἢν μὲν ἐκπονήσῃ ἐν παλαίστρῃ, [9] ψυχρῷ λουέσθω· ἢν δὲ ἄλλῳ τινὶ πόνῳ χρήσηται, τὸ θερμὸν ξυμφορώτερον. [10] Χρῆσθαι δὲ καὶ λαγνείῃ πλέον ἐς ταύτην τὴν ὥρην, καὶ τοὺς πρεσβυτέρους μᾶλλον ἢ τοὺς νεωτέρους. [11] Χρέεσθαι δὲ καὶ τοῖσιν ἐμέτοισι, τοὺς μὲν ὑγροτέρους τρὶς τοῦ μηνὸς, τοὺς δὲ ξηροτέρους δὶς ἀπὸ σιτίων παντοδαπῶν, ἐκ [12] δὲ τῶν ἐμέτων προσάγειν ἡσυχῇ πρὸς τὸ εἰθισμένον σιτίον ἐς ἡμέρας τρεῖς, καὶ τοῖσι πόνοισι χρῆσθαι κουφοτέροισι καὶ ἐλάσσοσι τοῦτον τὸν χρόνον· ἀπὸ δὲ [13] βοείων καὶ χοιρείων κρεῶν ἢ τῶν ἄλλων ὅ τι ἂν ὑπερβάλλῃ [14] πλησμονῇ, ἐμέειν, καὶ ἀπὸ τυρωδέων καὶ γλυκέων καὶ λιπαρῶν ἀνεθίστων πλησμονῆς ἐμέειν [15] ξυμφέρει· καὶ ἀπὸ μέθης καὶ σίτων μεταβολῆς καὶ χωρίων μεταλλαγῆς ἐμέειν βέλτιον. Διδόναι δὲ καὶ τῷ [16] ψύχει ἑωυτὸν θαρσέων, πλὴν ἀπὸ τῶν σιτίων καὶ γυμνασίων, ἀλλ' ἔν τε τοῖσιν ὀρθρίοισι περιπάτοισιν, ὁκόταν ἄρξηται τὸ σῶμα διαθερμαίνεσθαι, καὶ [17] ἐν τοῖσι

[1] Ἀποκουφίζειν pro ἀπὸ κούφων E. – προσαναγκάζειν Codd. Regg. ap. Foes in not. – προσάγοντα L, Zwing. in marg., Lind., Mack. – τοῖσι μὲν (τε pro μὲν θ; μὲν om., restit. al. manu H) περιπάτοισι vulg. – ἀλέῃ IJ. — [2] ὀρθρίοισι θ, Zwing., Lind., Mack. – ὀρθοῖσι vulg. — [3] πρὸς ἅπαντα pro προσάγοντα θ, Mack. – ἐς τὸ θ, Mack. – ἐς τὸ om. vulg. — [4] σκληροσιτίῃσι (E, al. manu κοι) (H, al. manu, erat prius σκληροκοιτίῃσι), Zwing. in marg. – σκληρευνίῃσι θ. — [5] νυκτοβαδίῃσι θ. – Post ν. addit καὶ σχοινοβατίῃσι (κοινοβατέῃσι, E al. manu σχοινοβατέῃσι, H; κοινοβατίῃσι GIJK, Ald., Zwing. in marg.; κονιβατιῃσι Lind., Mack) vulg. – καὶ σχοιν. om. θ. – κονιβατίῃσι legit Foes in notis : *per pulverem.* — [6] νυκτοδρομίῃσι θ. – κυνοδρομίῃσι vulg. – κενοδρομίῃσι GJ. – σχοινοδρομίῃσι κονιθεῖσι δρόμοισι Zwing. in marg. – κονιδρόμοισι legit Foes in notis. – κονιβαθείῃσι δρομίῃσι Mercurialis. – Ce qui m'a engagé à prendre νυκτοδρομίῃσι de θ, c'est qu'il me semble qu'ici il ne s'agit que de choses nocturnes. – χρῆσθαι θ. — [7] ξ. EHK, Lind. – σ. vulg. — [8] χρίεσθαί τε τὰ πλείω θ. – D'après Mack θ a χρέεσθαι. – χρέεσθαι vulg. – πλόω pro πλείω Zwing. in marg. – πλοίῳ Lind. – λούεσθαι θ. — [9] ψυχρῷ EHθ, Mack. – ψυχρὸν vulg. – λούσθω GHJK, Ald. – πόνω τινὶ E. – συμφορώτερον θ. – ξυμφερώτερον GIJ. — [10] χρῆσθαι (χρέεσθαι Mack) δὲ καὶ λαγνείῃ πλέον εἰς ταύτην τὴν ὥρην, καὶ τοὺς πρεσβυτέρους μᾶλλον ἢ τοὺς νεωτέρους θ, Mack. – χρῆσθαι.... νεωτέρους om. vulg. — [11] χρῆσθαι θ. – τρὶς

prolongera, commençant par un exercice léger, des promenades rapides après les exercices du gymnase, lentes après le dîner et faites au chaud, considérables le matin (on commencera doucement, on hâtera la marche, et on finira doucement aussi). On couchera sur un lit dur, on marchera la nuit, on courra la nuit, car tout cela atténue et échauffe. On fera de fortes onctions. Quand on veut se laver, si l'on s'est exercé dans la palestre, on se lavera à l'eau froide; après tout autre genre d'exercice l'eau chaude convient mieux. On usera plus souvent du coït pendant cette saison, et les hommes d'un certain âge plus que les hommes plus jeunes. On aura aussi recours aux vomissements : les personnes humides vomiront trois fois le mois, les personnes plus sèches deux fois, après s'être emplies d'aliments de toute espèce. Après les vomissements on reviendra en trois jours par des accroissements graduels à la nourriture ordinaire; et pendant ce temps on fera moins d'exercice et des exercices plus légers. On vomira après avoir pris des viandes de bœuf et de porc et autres qui donnent un excès de plénitude; on vomira après s'être empli de substances caséeuses, douces, grasses, dont on n'use pas d'habitude; il est encore bon de vomir après l'ivresse, après un changement d'aliments ou de résidence. On s'exposera en toute confiance au froid, si ce n'est après le repas et les exercices; mais on s'y exposera dans les promenades du matin, quand le corps commence à s'échauffer, dans les courses, et dans le reste du temps, évitant l'excès. Il n'est pas bon pour

EHIJLθ, Zwing., Lind. – τρεῖς vulg. – σίτων θ. — [12] δὲ EGHIJKθ, Ald., Zwing., Lind., Mack. – δὴ vulg. – προσάγει H. – εἰς HIJK. – τρεῖς om. J. – χρῆσθαι om. (H, restit. al. manu) θ. – ἐλάσσοσι EHKθ, Mack. – ἐλάττοσι vulg. — [13] βοἴων ἢ χοιρίων θ. – ἢν pro ἂν θ. — [14] πλησσόμενον (πληθόμενον Mack) vulg. – πλεισμονῇ θ. – ἐμέειν om., restit. al. manu H. – Post ἐμ. addit συμφέρει θ. – τυρωδέων (E, al. manu πυρ) GHIJθ, Ald., Zwing. in marg., Lind., Mack. – πυρωδέων vulg. – πλεισμονῆς θ. — [15] ξ. EHIJK, Lind. – σ. vulg. – μέθης καὶ om. θ. – ὡρέων pro σίτων Zwing. in marg. – βέλτιον θ. – βέλτιον om. vulg. — [16] ψύχει καθαρὸν (καθαρῶν I) ἑωυτὸν πλὴν vulg. – ψύχει ἑωυτὸν θαρσέων πλὴν θ. – σίτων sine τῶν θ. – καὶ τῶν γυμν. E. – ὅταν θ. – ἄρχηται EHKθ. — [17] ἐν θ, Mack. – ἐν om. vulg.

δρόμοισι καὶ [1]ἐν τῷ ἄλλῳ χρόνῳ, ὑπερβολὴν φυλασσόμενος· οὐκ ἀγαθὸν γὰρ τῷ σώματι μὴ χειμάζεσθαι ἐν τῇ ὥρῃ· οὐδὲ γὰρ τὰ [2]δένδρεα μὴ χειμασθέντα ἐν τῇ ὥρῃ δύναται καρπὸν φέρειν, οὐδ' αὐτὰ ἐρρῶσθαι. Χρέεσθαι δὲ καὶ τοῖσι πόνοισι [3]πουλλοῖσι ταύτην τὴν ὥρην ἅπασιν· ὑπερβολὴν γὰρ οὐκ ἔχει, ἢν μὴ οἱ κόποι ἐγγίνωνται· τοῦτο [4]τὸ τεκμήριον διδάσκω τοὺς ἰδιώτας. Διότι δὲ οὕτως ἔχει φράσω· τῆς ὥρης ἐούσης ψυχρῆς καὶ συνεστηκυίης, παραπλήσια πέπονθε καὶ τὰ ζῶα· βραδέως οὖν [5]ἀνάγκη διαθερμαίνεσθαι τὰ σώματα ὑπὸ τοῦ πόνου, καὶ τοῦ ὑγροῦ μικρόν τι μέρος ἀποκρίνεσθαι τοῦ ὑπάρχοντος· εἶτα τοῦ χρόνου [6]ὅντινα μὲν πονέειν ἀποδέδοται, ὀλίγος· ὅντινα δὲ ἀναπαύεσθαι, πουλύς· ἡ μὲν γὰρ ἡμέρη βραχείη, ἡ δὲ [7]νὺξ μακρή· διὰ ταῦτα [8]οὖν οὐκ ἔχει ὑπερβολὴν ὁ χρόνος καὶ ὁ πόνος. Χρὴ οὖν [9]τὴν ὥρην ταύτην οὕτω διαιτῆσθαι, ἀπὸ πλειάδων δύσιος μέχρις ἡλίου τροπῶν ἡμέρας τεσσαράκοντα τέσσαρας· περὶ δὲ τὴν τροπὴν ἐν φυλακῇ [10]ὅτι μάλιστα εἶναι, καὶ ἀπὸ τροπῆς ἡλίου ἄλλας τοσαύτας ἡμέρας τῇ αὐτῇ διαίτῃ χρέεσθαι. [11]Μετὰ δὲ ταῦτα ὥρη ἤδη ζέφυρον πνέειν, καὶ μαλακωτέρη ἡ ὥρη· χρὴ δὴ καὶ τῇ διαίτῃ μετὰ τῆς ὥρης ἐφέπεσθαι ἡμέρας πεντεκαίδεκα. Εἶτα δὲ ἀρκτούρου ἐπιτολὴ, καὶ χελιδόνα ὥρη ἤδη φαίνεσθαι, τὸν ἐχόμενον [12]δὲ χρόνον ποικιλώτερον ἤδη διάγειν μέχρις ἰσημερίης ἡμέρας τριήκοντα δύο. [13]Χρὴ οὖν καὶ

[1] Ἐν om. EHK. – οὐκ ἀγαθὸν γὰρ τῶ σώματι μὴ χειμάζεσθαι ἐν τῇ ὥρῃ θ. – ἀγαθὸν γὰρ τῷ σώματι χειμάζεσθαι ἢ γυμνάζεσθαι ἐν τῇ ὥρῃ vulg. – ἢ γυμνάζεσθαι me paraît une glose de χειμάζεσθαι passée dans le texte. Le ms. θ l'élimine, et du reste la marche de sa leçon est préférable à vulg. — [2] δένδρεα θ. – δένδρη EH. – δένδρα vulg. – δύναται EHθ. – δύνανται vulg. – καρποφορεῖν θ. — [3] πολλοῖσι EHIJKθ, Lind., Mack. – ἅπασιν Hθ. – ἅπασιν om. vulg. – ὑπερβολὴν γὰρ οὐκ ἔχει θ. – ἐς (ἐς om., restit. al. manu H) ὑπερβολὴν pro ὑπ. γ. οὐκ ἔ. vulg. – οἱ om. Eθ. – ἐνγίνονται θ. — [4] τὸ om. vulg. – J'ai ajouté τὸ sans mss.; ce τὸ est tombé à cause de τοῦτο qui précède. – διδασκαλείω GJ. – διδακαλείω (sic) I. – διότι δὲ οὕτως ἔχει θ. – διότι τάδε οὕτως ἔχει vulg. – ψυχρῆς ἐούσης θ. – οὔσης vulg. – ἐνεστηκυίης EFGHIJK, Ald. — [5] διαθερμαίνεσθαι ἀνάγκη θ. – διαθερμαίνεται EH. — [6] ὅντινα μὲν πονέει, ἀποδέδοται (ἀποδίδοται E, H al. manu, erat prius ἀποδέδοται, Q', Mack) ὀλίγος· ὅντινα δὲ ἀναπαύεται, πουλὺς (πολὺς IJ) vulg. – ὅντινα μὲν πονέειν ἀποδέδοται ὁ λόγος, ὅντινα δὲ ἀναπαύεσθαι, πολὺς θ. — [7] συφρόνη (sic) θ. – C'est εὐφρόνη. — [8] οὖν om. Mack. – D'après Mack οὖν manque dans θ; ma collation n'en dit rien. — [9] Ante τὴν addit διὰ ταῦτα vulg. – διὰ ταῦτα om. θ. – ταύτην τὴν ὥρην οὕτως διαιτᾶσθαι θ. – διαιτεῖσθαι J. – πλιάδων θ. – μέχρι H. – ἡμέραι E. – τεσσερακοντατέσσερας θ. – τέσσαρες E. — [10] ὡς EHP'Q'θ,

le corps de n'être pas, dans la saison, exposé à l'inclémence de l'air; car les arbres qui n'ont pas éprouvé au temps voulu l'inclémence de l'air ne peuvent ni produire des fruits ni être vigoureux. On usera aussi, dans cette saison, de tous les exercices largement; il n'y a point d'excès, pourvu que la courbature ne survienne pas; signe que j'enseigne aux gens du monde. La raison, je vais la donner : la saison étant froide et contractée, les animaux se ressentent de cette influence; il s'ensuit nécessairement que les corps s'échauffent lentement par l'exercice, et que peu de l'humide existant est excrété; puis le temps donné à l'exercice est petit, le temps donné au repos est long; car le jour est court et la nuit est longue; pour ces raisons ni la durée de l'exercice ni l'exercice lui-même ne peuvent être excessifs. Il faut donc vivre ainsi pendant cette saison, depuis le coucher des Pléiades jusqu'au solstice [d'hiver], quarante-quatre jours. Mais vers le solstice il faut être surtout sur ses gardes et user du même régime à partir du solstice pendant autant de jours. Au bout de cet intervalle, c'est déjà le temps où le zéphyre va souffler, et la saison est plus douce; aussi convient-il de suivre la saison par le régime pendant quinze jours. Puis vient le lever [du soir] d'Arcturus et le moment où l'hirondelle va paraître; dès lors on commencera à vivre d'une manière plus variée jusqu'à l'équinoxe pendant trente-deux jours. Il faut donc suivre la saison,

Zwing. in marg., Lind., Mack. - ὅτι om. K. - μάλιστ' θ. - ἡμέρας τοσαύτας θ. - χρῆσθαι θ. — [11] ἐπὴν δὲ (addunt ἡ EGHK, Ald., Zwing., Lind., Mack) ἐπανάγη τὸν ζέφυρον καὶ μαλακωτέρη γένηται (addit ἤδη H), δεῖ (addunt οὖν EHK) καὶ τῇ διαίτῃ μετὰ τῆς ὥρης ἕπεσθαι ἡμέρας πεντεκαίδεκα, ὅτε ἡ (ἡ om. Ald.; δ' pro ἡ EHK; κ' pro ἡ IJ) ἀρκτούρου ἐπιτολὴ (ἐπιτολῇ H) καὶ χελιδὼν ἤδη φέρεται (φέρηται Frob., Zwing., Lind.; φαίνεται mavult Coray Mus. Oxon. Consp., p. 9) vulg. - μετὰ δὲ ταῦτα ὥρῃ ἤδη ζέφυρον πνέειν καὶ μαλακωτέρη ἡ ὥρη· χρὴ δὴ καὶ τῇ διαίτῃ μετὰ τῆς ὥρης ἐφέπεσθαι ἡμέρας πεντεκαίδεκα· εἶτα δὲ ἀρκτούρου ἐπιτολὴ (ἐπιβολὴ scribit Mack), καὶ χελιδόνα ὥρῃ ἤδη φαίνεσθαι θ. — [12] δὲ om. E. - ποικιλότερον EG, Ald., Frob. - ἄγειν GIθ, Ald. - διάγειν om., restit. al. manu H. - μέχρι Hθ. - τριήκοντα θ, Mack. - τριάκοντα vulg. — [13] δεῖ EHK (θ, δι sic), Zwing. in marg., Lind. - ἕπεσθαι θ, Mack. - χρέεσθαι vulg. - μαλακωτέροισι pro φαυλ. EHQ'θ, Zwing. in marg., Lind.

τοῖσι διαιτήμασιν ἕπεσθαι τῇ ὥρῃ διαποικίλλοντα φαυλοτέροισι καὶ κουφοτέροισι, τοῖσί τε σιτίοισι καὶ τοῖσι [1]ποτοῖσι καὶ πόνοισι, προσάγοντα ἡσυχῇ πρὸς τὸ ἦρ. Ὁκόταν δὲ ἰσημερίη γένηται, [2]ἤδη μαλακώτεραι αἱ ἡμέραι καὶ μακρότεραι, [3]αἱ νύκτες δὲ βραχύτεραι, καὶ ἡ ὥρη ἡ ἐπιοῦσα θερμή τε καὶ ξηρὴ, [4]ἡ δὲ παρεοῦσα τρόφιμός τε καὶ εὔκρητος. Δεῖ οὖν, ὥσπερ [5]καὶ τὰ δένδρεα παρασκευάζεται ἐν ταύτῃ τῇ ὥρῃ αὐτὰ αὐτοῖσιν ὠφελείην ἐς τὸ θέρος, οὐκ ἔχοντα γνώμην, αὔξησίν τε καὶ σκιὴν, οὕτω καὶ τὸν ἄνθρωπον· [6]ἐπεὶ γὰρ γνώμην ἔχει, τῆς σαρκὸς τὴν αὔξησιν δεῖ ὑγιηρὴν παρασκευάζειν. Χρὴ οὖν, ὡς μὴ ἐξαπίνης τὴν δίαιταν [7]μεταβάλλειν, διελεῖν τὸν χρόνον ἐς μέρεα ἓξ κατὰ ὀκτὼ ἡμέρας. Ἐν [8]γοῦν τῇ πρώτῃ μοίρῃ χρὴ τῶν τε πόνων ἀφαιρέειν καὶ τοῖσι λοιποῖσιν ἠπιωτέροισι χρέεσθαι, τοῖσί [9]τε σιτίοισι μαλακωτέροισι καὶ καθαρωτέροισι, τοῖσί τε πόμασιν ὑδαρεστέροισι καὶ λευκοτέροισι, καὶ τῇ πάλῃ σὺν [10]τῷ ἐλαίῳ ἐν τῷ ἡλίῳ χρέεσθαι· ἐν ἑκάστῃ δὲ [11]τῇ ὥρῃ ἕκαστα τῶν διαιτημάτων μεθιστάναι κατὰ μικρόν· καὶ τῶν περιπάτων ἀφαιρέειν, τῶν ἀπὸ [12]μὲν τοῦ δείπνου τοὺς πλέους, τῶν [13]δὲ ὀρθρίων τοὺς ἐλάσσους· καὶ τῆς μάζης ἀντὶ τῶν ἄρτων προστίθεσθαι, καὶ τῶν λαχάνων τῶν ἑψανῶν [14]προσάγειν, καὶ τὰ ὄψα ἀνισάζειν τὰ ἑφθὰ τοῖσιν ὀπτοῖσι, [15]λουτροῖσί τε χρέεσθαι, καί [16]τι καὶ ἐναριστῆν μικρὸν, ἀφροδισίοισι δὲ ἐλάσσοσι· καὶ τοῖσιν ἐμέτοισι, τὸ μὲν πρῶτον ἐκ τῶν δύο ποιέεσθαι, εἶτα διὰ πλείονος χρόνου, [17]ὅκως ἂν καταστήσῃ τὸ σῶμα σεσαρκωμένον καθαρῇ σαρκὶ, καὶ τὴν δίαιταν μαλακὴν ἐν τουτέῳ τῷ χρόνῳ μέχρι πλειάδων ἐπι-

[1] Ποτοῖσι καὶ om. θ. – ἦρ θ, Mack. – ἔαρ vulg. – δ' θ. — [2] ἤδη μαλακωτέρη καὶ αἱ (αἱ om., restit. al. manu H) ἡμέραι μὲν (μὲν om., restit. al. manu H) μακρότεραι vulg. – ἤδη μαλακώτεραι αἱ ἡμέραι καὶ μακρότεραι θ. — [3] αἱ om. (H, restit. al. manu) θ. – ἡ ἐπιοῦσα θ. – ἐπιοῦσα sine ἡ EHKQ', Zwing. in marg., Lind., Mack. – ἡ ἐπιοῦσα om. vulg. – Mack dit que θ n'a pas ἡ. – Post ξηρὴ addit καταστῇ vulg. – καταστῇ om. (H, restit. al. manu) θ. — [4] ἡ δὲ EHKQ'θ. – καὶ ἡ sine δὲ vulg. – καὶ ἡ δὲ παρεοῦσα [δίαιτα] Lind. – παροῦσα θ. – Mack dit que θ a παρεοῦσα. – εὔκρητος (H, al. manu ἄκρητος) θ. – ἄκρητος vulg. — [5] καὶ EHθ. – καὶ om. vulg. – δένδρα K. – παρασκευάζεται EFGHIJK, Ald., Frob., Zwing., Lind. – παρασκευάζονται vulg. – αὐτὰ αὐτοῖς θ. – αὐτὰ om. vulg. – αὑτοῖσιν Zwing. – ἑαυτοῖσιν Lind. – αὔξησι (sic) θ. — [6] ἐπεὶ.... παρασκευάζειν om., restit. al. manu cum διαπράττειν pro παρασκευάζειν E. – ἐπὶ pro ἐπεὶ θ. – τε γὰρ K. – γε pro γὰρ θ. – τε, al. manu γὰρ H. – αὔξησι (sic) θ. – Post ὑγιηρὴν addit αὐτὴν (αὐτῷ Mack) vulg. – αὐτὴν om. (H, restit. al. manu) θ. – κατασκευάζειν J. – διαπράττειν Zwing. in marg., Lind. — [7] μεταβάλῃ EHIJKθ. – διαιρεῖν E. – εἰς θ. — [8] οὖν EHI. – μὲν οὖν pro γοῦν Kθ.

variant le régime et le rendant plus faible et plus léger pour les aliments, pour les boissons, pour les exercices, par une lente gradation vers le printemps. Quand l'équinoxe est arrivé, les jours deviennent plus doux et plus longs, les nuits plus courtes; la saison qui approche est chaude et sèche, la saison présente est nourrissante et tempérée. Si les arbres, qui n'ont pas d'intelligence, se préparent dans cette saison des avantages pour l'été, à savoir de l'accroissement et de l'ombrage, il faut que l'homme en fasse autant; lui qui est intelligent, il doit se préparer une saine augmentation de la chair. Afin de ne pas changer brusquement de régime, on divisera ce temps en six parties, de huit jours chaque. Dans la première partie, on retranchera des exercices, et ceux que l'on conservera seront moins actifs. Les aliments seront plus mous et plus purs; les boissons seront plus aqueuses et plus blanches; on usera de la lutte huilée au soleil. A chaque saison on changera peu à peu chacune des parties du régime. On diminuera les promenades, plus celles de l'après-dîner, moins celles du matin. On remplacera le pain par la polenta. On mangera des légumes cuits. On égalera les mets bouillis aux mets rôtis. On usera des bains. On fera un petit déjeuner. On se livrera moins au coït. On emploiera les vomissements, d'abord tous les deux jours, puis à des intervalles plus éloignés, afin que le corps, se fournissant d'une chair pure, prenne de la consistance. Le régime sera doux pendant ce temps jusqu'au lever des Pléiades. Alors

-ἠπιωτέροισι θ, Mack. -ὀξυτέροισι pro ἠπ. vulg. -χρῆσθαι θ. — [9] τε EHKθ. -δὲ pro τε vulg. -μαλακωτέροισί τε καὶ (καὶ om., restit. al. manu H) πόμασιν vulg. -μαλακωτέροισι καὶ καθαρωτέροισι, τοῖσί τε πόμασιν θ. — [10] τῷ EHKQ'θ, Lind., Mack. -τῷ om. vulg. -χρῆσθαι θ. — [11] τῇ om. IJθ. -μεθιστᾶναι Hθ. — [12] μὲν θ. -μὲν om. vulg. -τοὺς om. θ. -Mack dit que θ a τούς. -πλέους θ. -πλείους vulg. — [13] δ' EHKθ. -ὀραρίων (sic) θ. -τοὺς E (H, al. manu) KQ', Zwing. in marg., Lind. -τοὺς vulg. -ἐλάσσους θ. -ἐλάττους vulg. -ἐψάνων vulg. — [14] προσάγῃ GJ. — [15] Ante λ. addunt καὶ E (H, al. manu) KQ'. -λουτροῖσί τε χρ. om. θ. — [16] τι καὶ θ. -τι καὶ om. vulg. -δὲ EHKθ. -τε pro δὲ vulg. -ἐλάσσοσι θ. -ἐλάττοσι vulg. — [17] ὅπως IK. -ἣν pro ἂν Hθ. -καταστήσῃ τε vulg. -τε om. θ. -μαλθακὴν ἐν τούτῳ θ. -πλιάδος θ.

τολῆς. Ἐν [1]τούτῳ θέρος, καὶ τὴν δίαιταν ἤδη χρὴ πρὸς τοῦτο ποιέεσθαι· χρὴ οὖν, ἐπειδὰν πλειὰς ἐπιτείλῃ, τοῖσί τε σιτίοισι μαλακωτέροισι [2]καὶ καθαρωτέροισι καὶ ἐλάσσοσι χρέεσθαι, εἶτα τῇ μάζῃ πλεῖον ἢ τῷ ἄρτῳ, ταύτῃ δὲ [3]προφυρητῇ ἀτριπτοτέρῃ, τοῖσι δὲ πόμασι μαλακοῖσι, λευκοῖσιν, ὑδαρέσιν, ἀρίστῳ δὲ ὀλίγῳ, καὶ ὕπνοισιν ἀπὸ τοῦ ἀρίστου βραχέσι, [4]καὶ πλησμονῇσιν ὡς ἥκιστα τῶν σιτίων, καὶ τῷ ποτῷ ἱκανῷ ἐπὶ τῷ σίτῳ χρέεσθαι· δι' ἡμέρης δὲ ὡς ἥκιστα πίνειν, ἢν μὴ [5]ἀναγκαίῃ τινὶ ξηρασίῃ τὸ σῶμα χρήσηται· χρέεσθαι δὲ τοῖσι λαχάνοισι τοῖσιν ἑφθοῖσι, πλὴν τῶν καυσωδέων [6]καὶ ξηρῶν, χρέεσθαι δὲ καὶ τοῖσιν ὠμοῖσι, πλὴν τῶν θερμαντικῶν [7]καὶ ξηρῶν· ἐμέτοισι δὲ, ἢν μή τις πλησμονὴ ἐγγένηται, μὴ χρέεσθαι· τοῖσι δὲ ἀφροδισίοισιν ὡς ἥκιστα· λουτροῖσι δὲ χλιεροῖσι [8]χρέεσθαι. Ἡ δὲ ὀπώρη ἰσχυρότερον τῆς ἀνθρωπίνης φύσιος· βέλτιον οὖν ὀπωρῶν ἀπέχεσθαι· εἰ δὲ χρῷτό τις, μετὰ τῶν σιτίων χρεόμενος [9]ἥκιστ' ἂν ἐξαμαρτάνοι. Τοῖσί τε πόνοισι [10]τοῖσι τροχοῖσι χρὴ γυμνάζεσθαι καὶ διαύλοισιν ὀλίγοισι μὴ πουλὺν χρόνον, καὶ τοῖσι περιπάτοισιν ἐν σκιῇ, τῇ τε πάλῃ ἐν κόνει, ὅκως ἥκιστα ἐκθερμαίνηται· ἡ γὰρ ἀλίνδησις βέλτιον ἢ οἱ τροχοί· ξηραίνουσι γὰρ τὸ σῶμα κενοῦντες τοῦ ὑγροῦ· ἀπὸ δείπνου [11]τε μὴ περιπατέειν ἀλλ' ἢ ὅσον ἐξαναστῆναι· πρωῒ δὲ χρέεσθαι τοῖσι περιπάτοισιν· ἡλίους δὲ φυλάσσεσθαι καὶ τὰ ψύχεα τά τε ἐν τῷ πρωὶ καὶ τὰ ἐν τῇ ἑσπέρῃ,

[1] Post τούτῳ addit ἤδη vulg. – ἤδη om. (E, restit. al. manu) GHIJKθ, Ald. – δεῖ pro χρὴ θ. – ἐπιδὰν πλιὰς ἐπιτιλή (sic) θ. – σίτοισι θ. — [2] καὶ καθαρωτέροισι θ. – καὶ καθ. om. θ. – ἐλάσσοσι θ, Mack. – ἐλάττοσι vulg. — [3] προσφύραι τῇ H. – πορφύραι τῇ, al. manu προφύραι E. – προφυρετῇ GIJK, Ald. – ἀθρυπτοτέρῃ Zwing. in marg. – ἀτρυπτοτέρῃ Lind. – πόμασι λευκοῖσι μαλακοῖσιν, ὑδαρὲς θ. — [4] καὶ πλησ. ὡς ἥκιστα τῶν σιτίων τε (τε om. EHK) καὶ (addunt τῶν EH) ποτῶν (ποτοῦ Zwing. in marg.) ἱκανῶς vulg. – καὶ πλ. ὡς ἥκιστα τῶν σιτίων τε καὶ ποτῶν· καὶ τῷ ποτῷ (ποτοῦ sine τῷ Lind.) ἱκανῶς K', Lind., Mack. – καὶ πλεισμονῆσιν ὡς ἥκιστα τῶν σιτίων, καὶ τῶ ποτῶ ἱκανῶ θ. — [5] ἀναγκαίῃ EIJKθ, Ald., Mack. – ἀνάγκῃ vulg. — [6] καὶ ξηρῶν om. θ. — [7] Post καὶ addit τῶν ξηραντικῶν καὶ τῶν θ. – ξηραντικῶν pro ξηρῶν Mack. – μὴ χρῆσθαι, quod ponitur ante ἢν θ. – πλεισμονὴ θ. – γένηται GJ. – γέννηται (sic) I. — [8] χρῆσθαι θ. – ἰσχυροτέρη θ. – φύσεως EH. – τῶν ὀπωρῶν EK. – ὀπωρῶν om. (H, restit. al. manu τῶν ὀπωρῶν) θ. – σίτων χρώμενος θ. — [9] οὐ βλαβήσεται pro ἥκ. ἂν ἐξ. FGIJ. — [10] τοῖσί τε (τε om. θ) τροχοῖσι χρὴ γυμνάζεσθαι, καὶ διαύλοισιν ὀλίγοισι πολὺν (πουλὺν EHKθ, Lind., Mack) χρόνον, κ. τ. π. ἐν σκιᾷ (σκιῇ θ), τῇ τε π. ἐν κόνει (κόνι K, al. manu ει), ὅ. ἥκ. ἐκθερμαίνηται (διαθερμαίνοιτο θ)· ἡ γὰρ (μὲν pro γὰρ Zwing. in

c'est l'été, et déjà il faut diriger le régime vers cette saison. Donc, quand les Pléiades se seront levées, on usera d'aliments plus émollients, plus purs et moindres, de la polenta de préférence au pain, et cette polenta sera bien pétrie sans être concassée. Les boissons seront molles, blanches, aqueuses. Le déjeuner sera petit. Le sommeil après le déjeuner sera court. On prendra garde de se remplir d'aliments, et l'on boira suffisamment pour ce qu'on mange. Pendant la journée on ne boira guère à moins que le corps n'éprouve quelque sécheresse impérieuse. On mangera des légumes bouillis, excepté ceux qui causent de l'ardeur et de la sécheresse ; on mangera aussi des légumes crus, excepté ceux qui échauffent et qui dessèchent. On n'aura pas recours aux vomissements à moins qu'il ne survienne quelque plénitude. On s'abstiendra autant que possible du coït. On usera de bains tièdes. Les fruits de la saison sont plus forts que la nature humaine ; il vaut donc mieux s'en abstenir ; mais, si l'on en use, c'est en en mangeant avec les autres aliments que la faute sera la moindre. Quant aux exercices, on usera peu et peu longtemps de la course au cerceau et de la course diaule (double stade) ; on fera des promenades à l'ombre, on luttera sur la poussière, afin de s'échauffer le moins ; en effet la lutte sur la poussière vaut mieux que la course au cerceau ; celle-ci dessèche le corps en le privant de l'humide. Après le dîner on ne se promènera pas, si ce n'est pour faire un tour ; mais le matin on usera de la promenade. On se gardera du soleil et des fraîcheurs tant du matin que du soir, fraîcheurs qu'exhalent les rivières ou les étangs ou les neiges.

marg.) ἀλίνδησις βέλτιον ἢ οἱ τροχοί (καὶ οἱ τροχοὶ δὲ βέλτιον pro ἢ οἱ τροχοί θ)· ψύχουσι γὰρ vulg. – Cette phrase ne me paraît pas pouvoir subsister telle qu'elle est. D'abord il y a opposition entre ὀλίγοισι et πουλύν ; puis ψύχουσι ne peut être dit de la course au cerceau ; et d'ailleurs Calvus a lu dans ses mss. ξηραίνουσι, leçon bien meilleure et que Foes a adoptée dans sa traduction. Je pense donc qu'il faut ajouter μὴ devant πουλὺν, et prendre ξηραίνουσι au lieu de ψύχουσι. — [11] δὲ EHKθ. – περιπατεῖν EHθ. – χρῆσθαι θ. – φυλάσσεσθαι θ. – φυλάσσειν vulg. – ψύχη θ. – τά τε ἐν om., restit. al. manu τά τε ἐν τῷ H. – τῷ EGIJK, Ald., Zwing. in marg. – τῷ om. vulg. – τὰ πρῴϊα θ. – ἐς ἑσπέρην EHKQ'. – ἐς τὴν ἑσπέρην θ. – ὅσα θ.

ὁκόσα ποταμοὶ ἢ λίμναι ἢ χιόνες ἀποπνέουσιν. Ταύτῃ δὲ τῇ διαίτῃ προσανεχέτω [1]μέχρις ἡλίου τροπέων, ὅκως ἐν τουτέῳ τῷ χρόνῳ ἀφαιρήσει πάντα ὁκόσα ξηρὰ καὶ θερμὰ καὶ μέλανα καὶ ἄκρητα, καὶ τοὺς ἄρτους, πλὴν εἴ τι [2]σμικρὸν ἡδονῆς εἵνεκα. Τὸν ἐχόμενον δὲ χρόνον διαιτήσεται τοῖσι μαλακοῖσι καὶ ὑγροῖσι καὶ [3]ψυκτικοῖσι, λευκοῖσι καὶ καθαροῖσι, μέχρις ἀρκτούρου ἐπιτολῆς καὶ ἰσημερίης ἡμέρας ἐνενήκοντα τρεῖς. Ἀπὸ δὲ ἰσημερίης ὧδε χρὴ [4]διαιτῆσθαι, προσάγοντα πρὸς τὸν χειμῶνα ἐν τῷ φθινοπώρῳ, φυλασσόμενον τὰς μεταβολὰς τῶν ψυχέων καὶ τῆς ἀλέης ἐσθῆτι παχείῃ· [5]χρέεσθαι δὲ ἐν τουτέῳ τῷ χρόνῳ ἐν ἱματίῳ προκινήσαντα τῇ τε τρίψει καὶ τῇ πάλῃ [6]τῇ ἐν ἐλαίῳ, ἡσυχῇ προσάγοντα· καὶ τοὺς περιπάτους ποιέεσθαι ἐν ἀλέῃ· [7]θερμολουσίῃ τε χρέεσθαι, καὶ τοὺς ἡμερινοὺς ὕπνους ἀφαιρέειν, καὶ τοῖσι σιτίοισι θερμοτέροισι καὶ ἧσσον ὑγροῖσι καὶ καθαροῖσι, καὶ τοῖσι πόμασι μελαντέροισι, μαλακοῖσι [8]δὲ καὶ μὴ ὑδαρέσι, τοῖσί τε λαχάνοισι ξηροῖσιν ἧσσόν τε, τῇ τε ἄλλῃ διαίτῃ [9]προσάγειν πάσῃ τῶν θερινῶν ἀφαιρεῦντα, τοῖσι χειμερίοισι χρέεσθαι μὴ ἐς ἄκρον, ὅκως καταστήσει ὡς ἔγγιστα τῆς χειμερινῆς διαίτης, ἐν [10]ἡμέραις δυοῖν δεούσαιν πεντήκοντα μέχρι πλειάδων δύσιος ἀπὸ ἰσημερίης.

69. [11]Ταῦτα μὲν παραινέω τῷ πλήθει τῶν ἀνθρώπων, ὁκόσοισιν ἐξ ἀνάγκης εἰκῆ τὸν βίον διατελέειν ἐστὶ, μηδ' [12]ὑπάρχει αὐτέοισι τῶν ἄλλων ἀμελήσασι τῆς ἑωυτῶν ὑγιείης ἐπιμελεῖσθαι· [13]οἷσι δὲ τοῦτο παρεσκεύασται καὶ διέγνωσται, ὅτι [14]οὐδὲν ὄφελός ἐστιν οὔτε χρημάτων οὔτε τῶν ἄλλων οὐδενὸς ἄτερ τῆς ὑγιείης, πρὸς τουτέους

[1] Μέχρι H. – τούτῳ θ. – ἀφαιρήσει (H, al. manu ση) θ. – ἀφαιρήσῃ vulg. – ὅσα θ. – θερμὰ καὶ ξηρὰ K. – ἄκρατα JK. — [2] σμικρὸν θ, Mack. – μικρὸν vulg. – ἡδ. παρέχειν εἵν. vulg. – παρέχειν om. (H, restit. al. manu) θ. – μαλθακοῖσι θ. — [3] ψυκτοῖσι E. – Post ψ. addit καὶ vulg. – καὶ om. θ. – καὶ καθαροῖσι θ. – καὶ καθ. om. vulg. – μέχρι H. — [4] διαιτεῖσθαι vulg. – διαιτᾶσθαι θ. – Mack dit que θ a διαιτῆσθαι. – διαιτῆσθαι EHIK, Mack. – ἐν τῇ φθινοπωρινῇ θ. – τοῦ ψύχεος θ. – ἀλέης IJ. – αἰσθῆτι θ. — [5] χρῆσθαι δ' θ. – προκεινήσαντα θ. — [6] τῇ θ. – τῇ om. vulg. – ἀλέῃ IJ. — [7] θερμολουσι τε (sic) χρῆσθαι θ. – θερμολουσίῃσί τε EJK. – ὕπνους ἡμερινοὺς Hθ. – σίτοισι θ. – πώμασι θ. – μελανωτέροισι vulg. – μελανοτέροισι J. – μελαντέροισι θ. — [8] δὲ om. GIJ. – καὶ om. (H, restit. al. manu) θ. – λαχάνοισιν ἧσσον, τῇ τε vulg. – λακάνοισι (sic) ξηροῖσιν ἧσσόν τε, τῇ τε θ. – Mack cite cette variante sans le τε après ἧσσον, ce qui change le sens. — [9] προσάδειν Ald. – τῶν δὲ θ. – ἀφαιρεῦνται J, Ald. – ὑφαιρέοντα θ. – τοῖσι δὲ θ. – χειμερινοῖσι Hθ. – χρῆσθαι θ. – εἰς J. – ὅπως θ. – καταστήσῃ vulg. – εἴ τις τὰ

On se tiendra à ce régime jusqu'au solstice de manière à ôter pendant ce temps tout ce qui est sec, chaud, noir, intempéré, et les pains, si ce n'est quelque petite exception pour se procurer un plaisir. Dans toute cette époque on usera des choses molles, humides, rafraîchissantes, blanches, pures, jusqu'au lever d'Arcturus et à l'équinoxe, pendant quatre-vingt-treize jours. A partir de l'équinoxe on réglera son régime, marchant vers l'hiver dans l'automne; se gardant des changements du froid et du chaud à l'aide d'un vêtement épais. Dans ce temps, on usera, vêtu, de mouvements préalables, puis de la friction, et de la lutte huilée, en procédant graduellement. On se promènera au chaud. On prendra des bains chauds. On supprimera le sommeil de la journée. Les aliments seront plus chauds, moins humides et moins purs. Les boissons seront plus noires, molles et non aqueuses. On mangera des légumes secs et on en mangera moins. On conduira tout le régime en retranchant aux choses de l'été, sans aller trop loin dans les choses de l'hiver, de manière à le mettre aussi près que possible du régime hibernal, pendant quarante-huit jours depuis l'équinoxe jusqu'au coucher des Pléiades

69. (*Règles de régime pour ceux qui ont tout le temps de s'occuper de leur santé. L'auteur indique la découverte hygiénique qu'il a faite.*) Voilà ce que je conseille au commun des hommes qui, de nécessité, doivent vivre à l'aventure sans pouvoir, négligeant tout le reste, s'occuper de leur santé. Mais ceux qui en ont le moyen et pour qui il est bien entendu qu'il n'est aucun besoin de richesses ni de rien autre sans la santé, ceux-là trouveront ici un régime que j'ai découvert et conduit aussi près

pro ἔγγιστα θ. — [10] ἡμέραις Εθ. - ἡμέρησι Lind., Mack. - ἡμέραιν vulg. - ἡμέρην GHIK, Ald., Frob., Zwing. - ἡμεροῖν H. - δεούσαις Εθ. - Ante πεντ. addit ἢ vulg. - ἢ om. θ, Lind., Mack. - πλιάδων λύσιος θ. — [11] καὶ ταῦτα μὲν περαινῶ Gal. in cit. in Comm. de Hum., t. XVI, p. 76, ed. Kühn. — [12] ὑπάρχειν FJK. - αὐτοῖσι θ. - ἀμελήσασι θ. - ἀμελήσαντας vulg. - ἑωυτῶν EK. - ἑαυτῶν (έ. om., H al. manu ἑωυτῶν, θ) vulg. - ὑγείης GHI. - ἐπιμελέσθαι θ. — [13] ὅτω θ. — [14] οὐδὲ GJ, Ald. - Post χρ. addit οὔτε σώματος vulg. - οὔτε σώματος om. θ, Mack. - ὑγείης HK. - τοιουτέους HK. - τούτοις θ. - ἀνυστὴν J.

ἐστί μοι δίαιτα ἐξευρημένη ὡς ἀνυστὸν πρὸς τὸ ἀληθέστατον τῶν δυνατῶν προσηγμένη. [1]Ταύτην μὲν οὖν προϊόντι τῷ λόγῳ δηλώσω. Τόδε δὲ τὸ ἐξεύρημα καλὸν μὲν ἐμοὶ τῷ εὑρόντι, ὠφέλιμον δὲ [2]τοῖσι μαθοῦσιν, οὐδεὶς δέ κω τῶν πρότερον οὐδὲ ἐπεχείρησε συνεῖναι, ὃ πρὸς ἅπαντα τὰ ἄλλα πολλοῦ κρίνω εἶναι ἄξιον· ἔστι [3]δὲ προδιάγνωσις μὲν πρὸ τοῦ κάμνειν, διάγνωσις [4]δὲ τῶν σωμάτων τί πέπονθε, πότερον τὸ σιτίον κρατέει τοὺς πόνους, ἢ οἱ πόνοι τὰ σιτία, ἢ μετρίως ἔχει πρὸς ἄλληλα· ἀπὸ μὲν γὰρ τοῦ [5]κρατέεσθαι ὁκοτερονοῦν νοῦσοι ἐγγίνονται· ἀπὸ δὲ τοῦ ἰσάζειν πρὸς ἄλληλα ὑγείη πρόσεστιν. [6]Ἐπὶ ταῦτα δὴ τὰ εἴδεα ἐπέξειμι, καὶ δείξω ὁκοῖα γίνεται τοῖσιν ἀνθρώποισιν ὑγιαίνειν δοκέουσι καὶ [7]ἐσθίουσιν ἡδέως πονέειν τε δυναμένοισι καὶ σώματος καὶ χρώματος ἱκανῶς ἔχουσιν.

70. Αἱ ῥῖνες ἄτερ προφάσιος φανερῆς [8]ἐμπλάσσονται ἀπὸ τοῦ δείπνου καὶ τοῦ ὕπνου, καὶ δοκέουσι μὲν πλήρεες εἶναι, μύσσονται δὲ οὐδέν· ὁκόταν δὲ περιπατεῖν ἄρξωνται τοῦ [9]ὄρθρου καὶ γυμνάζεσθαι, τότε μύσσονται καὶ πτύουσι, προϊόντος δὲ τοῦ χρόνου [10]καὶ τὰ βλέφαρα βαρέα ἴσχουσι, καὶ τὸ μέτωπον ὥσπερ ξυσμὸς λαμβάνει, τῶν τε [11]σίτων ἧσσον ἅπτονται, καὶ πίνειν ἧσσον δύνανται, ἀχροιαί τε τουτέοισιν ὑπογίνονται, [12]καὶ ἢ κατάῤῥοοι κινέονται ἢ πυρετοὶ φρικώδεες, καθ' ὅ τι [13]ἂν τύχῃ τοῦ τόπου ἡ πλησμονὴ κινηθεῖσα. Ὅ τι δ' ἂν τύχῃ ποιήσας κατὰ τοῦτον τὸν καιρὸν, τοῦτο [14]αἰτιῆται οὐκ αἴτιον ἐόν· τουτέῳ γὰρ κρατεῦντα τὰ σιτία τοὺς πόνους, κατὰ σμικρὸν

[1] Ταύτη Frob. – προϊόντος τοῦ λόγου θ. – χρόνῳ (E, al. manu λόγῳ) KQ', Zwing. in marg. – τὸ δὲ sine δὲ τὸ θ. – ἐξεύρεμα I. — [2] τοῖς θ. – πω EGIJKθ. – οὐδ' EHKθ. – ἐπεχείρησαι (sic) θ. – συνεῖναι θ. – ξυνθεῖναι vulg. – ὃ om. θ. – ἅπαντα δὴ τἆλλα EHKθ. – τ' ἄλλα J. – κρίνω αὐτὸ εἶναι πουλλοῦ ἄξιον (sine αὐτὸ EHK) (θ, πολλοῦ). – πολλῷ J. — [3] δὲ EHIJKθ, Ald., Zwing. in marg., Lind., Mack. – δὲ om. vulg. – προδιαγνώσεις μὲν πρὸς τὸ κάμνειν, διαγνώσεις θ. — [4] δὲ om. GJθ, Ald. — [5] κρατεῖσθαι ὁπότερον οὖν θ. – ὑγιείη Eθ. — [6] ἐπεὶ θ. – δὲ pro δὴ J. – οἷά ἐστι καὶ γίνεται θ. – γίγνεται HK. – ὑγιαίνειν τε δοκοῦσι θ. – Mack cite θ sans τε. — [7] ἐσθίουσί τε vulg. – τε om. θ. – καὶ χρώματος καὶ σώματος θ. — [8] ἐνπλάσσονται θ. – ἐμπλήσσονται vulg. – ἐμπλήσονται E. – Mack dit que θ a ἐμπλήσσονται. Ἐμπλάσσεσθαι est la bonne leçon, ce mot ayant aussi le sens de ἐμφράσσεσθαι. – ἀπό τε τοῦ δείπνου καὶ τοῦ ὕπνου θ. – καὶ τοῦ ὕπνου om. vulg. – πλήρεις θ. – ὅταν θ. — [9] ἄρθρου (sic) Ald. – καὶ προϊόντος τοῦ vulg. – προϊόντος δὲ τοῦ θ. — [10] καὶ om. K. – βλεφάρεα (sic) θ. – βαρέα om. K. – ὥσπερ ξυσμὸς θ. – ξυσμὴ sine ὥσπερ vulg. – λαμβάνη Zwing. — [11] σιτίων JK. – ἀπέχονται vulg. – ἧσσον ἅπτονται θ. – πίνειν τε sine καὶ EHKθ. – ἀχροίη τε τουτέοισιν (addunt καὶ EHQ', Lind.) ἡ χροιὴ γίνεται

de la rigoureuse exactitude qu'il est possible ; régime que j'exposerai dans le courant de ce discours. Cette découverte, belle pour moi qui l'ai faite, utile à ceux qui s'en instruisent, découverte à laquelle aucun des devanciers n'a même songé sur un objet qui me paraît être d'une grande valeur pour tout le reste, cette découverte, c'est le pronostic touchant l'imminence de la maladie, et le diagnostic de ce que le corps éprouve, à savoir si l'aliment surmonte l'exercice, ou l'exercice l'aliment, ou si ces deux termes sont dans une juste proportion. En effet le triomphe de l'un des deux, lequel que ce soit, engendre des maladies ; et l'égalité réciproque de tous les deux entretient la santé. Je vais donc entrer dans l'exposé de ces formes et montrer ce qu'elles sont chez des hommes semblant en santé, mangeant avec plaisir, pouvant travailler, et ayant le corps et la couleur dans un état satisfaisant.

70. (*Premier cas où les aliments l'emportent sur les exercices. Plénitude caractérisée par l'état des narines et par l'affection de la gorge.*) Les narines sans cause apparente s'obstruent après le dîner et le sommeil ; elles paraissent être pleines, et cependant on ne mouche pas. Quand on commence à se promener le matin et à s'exercer, alors on mouche et on crache. Avec le temps, les paupières aussi deviennent pesantes, une sorte de prurit s'empare du front ; on a moins d'appétit, et on ne peut pas boire autant ; le teint se décolore, et il survient ou des catarrhes ou des fièvres frissonnantes, suivant le lieu où la chance portera le mouvement de la pléthore. Quoi que le hasard fasse faire durant ce temps, c'est à cela qu'on s'en prend comme à la cause ; et cependant la cause n'est pas là ; mais les aliments ont surmonté les exercices, et la pléthore,

vulg. – ἀχροίη τε (ἄχροιαι sine τε θ) τουτέοισιν ὑπογίνονται H (θ, τούτοισιν). — [12] ἢ οὖν pro καὶ ἢ EHKQ', Lind. – οἳ pro ἢ Zwing. in marg. – καταρροῖ (sic) κεινέονται θ. – Mack dit que θ a κατάῤῥοι. — [13] ἢν pro ἂν EHKθ. – D'après Mack, θ a ἄν. – τόπου θ. – χρόνου pro τόπου vulg. – πλεισμονὴ θ. — [14] αἰτιᾶται θ. – τούτω θ. – κρατευτα (sic) θ. – σμικρὸν EH. – μικρὸν vulg. – μικρὰ θ, Mack. – ἢ πλεισμονὴ θ. – προήγαγεν θ, Mack. – ἤγαγεν vulg. – ἀλλὰ EHKθ. – τούτου θ. – ὅταν θ.

ξυλλεγομένη ἡ πλησμονὴ ἐς νοῦσον προήγαγεν. Ἀλλ' οὐ χρὴ προΐεσθαι μέχρι τουτέου, ἀλλ' ὁκόταν γνῷ τὰ πρῶτα τῶν τεκμηρίων, εἰδέναι ὅτι κρατέει τὰ σιτία τοὺς [1]πόνους κατὰ σμικρὸν ξυλλεγόμενα, ᾗ πλησμονή ἐστι. [2]Μύξαι γὰρ καὶ σίελα πλησμονῆς ἐστι κρίσις· ἀτρεμίζοντος μὲν δὴ τοῦ σώματος, [3]φράσσουσι τοὺς πόρους τοῦ πνεύματος, πολλῆς ἐνεούσης τῆς πλησμονῆς· θερμαινόμενον δὲ [4]ὑπὸ τοῦ πόνου, ἀποκρίνεται λεπτυνόμενον. Χρὴ δὲ τὸν τοιοῦτον ἐκθεραπευθῆναι ὧδε· [5]διαπονήσαντα ἐν τοῖσι γυμνασίοισι τοῖσιν εἰθισμένοισιν ἀκόπως, θερμῷ λουσάμενον, σιτίσαι παντοδαποῖσι καὶ ποιῆσαι ἐμέσαι· ἐκ δὲ τοῦ ἐμέτου κλύσαι τὸ στόμα καὶ τὴν φάρυγγα οἴνῳ αὐστηρῷ, ὅκως [6]ἂν συστυφῇ τὰ στόματα τῶν φλεβῶν καὶ μηδὲν ἐπικατασπασθῇ, ὁκοῖα γίνεται ἀπὸ ἐμέτων· εἶτα [7]ἐξαναστὰς περιπατησάτω ἐν ἀλέῃ ὀλίγα· ἐς δὲ τὴν ὑστεραίην τοῖσι μὲν περιπάτοισιν [8]αὐτοῖσι χρέεσθαι, τοῖσι δὲ γυμνασίοισιν ἐλάσσοσι καὶ κουφοτέροισιν ἢ πρόσθεν· καὶ ἀνάριστος διαγέτω, [9]ἢν θέρος ᾖ· ἢν δὲ μὴ θέρος ᾖ, μικρὸν ἐπιφαγέτω· καὶ τοῦ δείπνου ἀφελεῖν τὸ ἥμισυ οὗ εἴωθε δειπνεῖν· τῇ δὲ τρίτῃ τοὺς μὲν πόνους ἀποδότω τοὺς εἰθισμένους πάντας καὶ τοὺς περιπάτους, τοῖσι δὲ σιτίοισι προσαγέτω ἡσυχῇ, [10]ὅκως τῇ πέμπτῃ ἀπὸ τοῦ ἐμέτου κομιεῖται τὸ σιτίον τὸ εἰθισμένον. [11]Ἢν μὲν οὖν ἀπὸ τουτέου ἱκανῶς ἔχῃ, θεραπευέσθω τὰ ἐπίλοιπα τοῖσι μὲν σιτίοισιν ἐλάσσοσι, τοῖσι δὲ πόνοισι πλείοσιν· ἢν [12]δὲ μὴ καθεστήκῃ τὰ τεκμήρια τῆς πλησμονῆς, διαλιπὼν δύο ἡμέρας ἀφ' ἧς ἐκομίσατο τὰ σιτία, ἐμεσάτω πάλιν καὶ προσαγέτω κατὰ [13]τὰ αὐτά· ἢν δὲ μὴ, καὶ ἐκ τρίτου, μέχρις ἂν ἀπαλλαγῇ τῆς πλησμονῆς.

[1]Πόνους κατὰ (καὶ τὰ pro κατὰ K; καὶ κατὰ Mack) μικρὸν (μικρὰ Hθ, Mack; σμικρὰ EK) ξυλλεγόμενα (συλλ. IJ; ξυλλεγομένη Zwing. in marg., Lind.) (addunt ἡ θ, Mack) πλησμονή (πλεισμ. θ) ἐστι (ἔσται Zwing. in marg.) vulg. – D'après Mack, θ a καὶ κατά; ma collation ne le dit pas. En tout cas je garde le texte de vulg., sauf ἡ que je prends à θ et que je lis ᾗ. — [2]μῦξα γὰρ καὶ σίαλον πλεισμονῆς θ. — [3]φραγνύουσι θ. – σώματος pro πν. P'Q', Zwing. in marg. – πουλλῆς G. – ἐνεούσης om., restit. al. manu H. – πλεισμονῆς θ. — [4]ἀπὸ θ. – λεπτυνόμενα K'. — [5]ἐκπονῆσαι θ. – ἐξεμεῦσαι (sic) εὐθὺς σίτοισι χρησάμενον παντοδαποῖσιν pro σιτίσαι.... ἐμέσαι θ. – Mack dit que θ a ἐξεμέσαι. – σιτίσαι om., restit. al. manu H. – καὶ ποιῆσαι ἐμέσαι om., restit. al. manu H. — [6]ἢν, al. manu ἂν H. – συνστυφῇ I. – συστηφῇ G. – στυφῇ K. – στύψῃ θ. – Mack dit que θ a στύφῃ. – ἐπισπασθῇ EHK Q', Zwing. in marg. – ἔτι κατασπασθῇ Mercurialis, Mack. – Mack dit que θ a ἐπισπασθῇ; ma collation n'en dit rien. — [7]ἐξαναστὰς θ. – ἀναστὰς vulg. –

s'amassant peu à peu, a conduit à la maladie. Il ne faut pas laisser aller les choses jusque-là, et, dès que vous apercevrez les premiers signes, sachez que les exercices sont surmontés par les aliments s'amassant peu à peu, par quoi la pléthore est produite. En effet la mucosité et la salive sont la crise de la pléthore ; le corps étant en repos, elles obstruent les conduits du souffle, vu que la pléthore est considérable ; mais, échauffée par l'exercice, l'humeur s'atténue et se sépare. On traitera ce cas ainsi : faire les exercices accoutumés sans courbature, prendre un bain chaud, se remplir d'aliments de toute espèce et se faire vomir. Après le vomissement on se rincera la bouche et la gorge avec un vin astringent, afin que les orifices des veines se contractent et que rien de ce qui provient des vomissements ne soit attiré. Ensuite on fera un tour au chaud. Le lendemain on usera des mêmes promenades, mais les exercices seront moindres et plus légers que précédemment. On ne fera pas de déjeuner, si c'est l'été ; si ce n'est pas l'été, on mangera quelque petite chose. Au dîner on retranchera la moitié de ce qu'on y prenait d'habitude. Le surlendemain on reviendra à tous les exercices accoutumés et aux promenades. On augmentera progressivement la nourriture afin de pouvoir, le cinquième jour après le vomissement, manger comme d'habitude. Si cela suffit, le traitement consistera pour le reste en moins de nourriture, en plus d'exercice. Mais si les signes de la plénitude ne disparaissent pas, laissant passer deux jours depuis celui où l'on est revenu à la nourriture habituelle, on vomira de nouveau, et l'on suivra la même augmentation progressive. Si ce n'est pas encore assez, on recommencera une troisième fois, jusqu'à ce qu'on soit débarrassé de la plénitude.

ἀλέη IJ. – τῇ δ' ὑστεραίῃ θ. – ὑστερέην J. — [8] αὐτοῖσι θ. – αὐτοῖσι om. vulg. – χρησάσθω θ. — [9] ἦν θέρος ᾖ om. θ. – δὲ om. θ. – εἴωθε EHKθ, Zwing. in marg., Lind., Mack. – ἤθελε vulg. — [10] ὅπως θ. – κομιεῖ GJ. — [11] κἢν μὲν (μὲν om. K) ἀπὸ τουτέου (τούτου K) vulg. – ἢν μὲν οὖν ἀπὸ τούτου θ. – D'après Mack θ a κἢν. – ἐλάττοσι EHK. — [12] μὲν pro δὲ IJ. – καθέστηκε E. – πλεισμονῆς, διαλειπὼν (sic) θ. — [13] ταὐτὰ EHK. – τωυτὸ θ. – τωυτὰ Mack. – μὴ om. θ. – ἐκ τοῦ τρίτου H. – μέχρι θ. – πλεισμονῆς θ.

71. Εἰσὶ δέ τινες τῶν ἀνθρώπων οἵτινες, [1]ὁκόταν κρατέωνται οἱ πόνοι ὑπὸ τῶν σιτίων, τοιαῦτα πάσχουσιν· ἀρχομένης τῆς [2]πλησμονῆς ὕπνοι μακροὶ καὶ ἡδέες αὐτοῖσιν ἐπιγίνονται, [3]καί τι τῆς ἡμέρης ἐπικοιμῶνται· ὁ δὲ ὕπνος γίνεται τῆς σαρκὸς ὑγρανθείσης, καὶ χεῖται τὸ αἷμα, καὶ γαληνίζεται διαχεόμενον τὸ πνεῦμα. Ὁκόταν δὲ μὴ δέχηται ἔτι τὸ σῶμα τὴν [4]πλησμονὴν, ἀπόκρισιν ἤδη ἀφίησιν εἴσω ὑπὸ βίης τῆς περιόδου, ἥτις ὑπεναντιουμένη τῇ τροφῇ τῇ ἀπὸ τῶν σιτίων ταράσσει τὴν ψυχήν. Οὐκ ἔτι [5]δὴ κατὰ τοῦτον τὸν χρόνον ἡδεῖς οἱ ὕπνοι, ἀλλ' ἀνάγκη ταράσσεσθαι τὸν ἄνθρωπον, καὶ δοκέει μάχεσθαι· ὁκοῖα γάρ τινα πάσχει τὸ σῶμα, τοιαῦτα ὁρῇ ἡ ψυχὴ, κρυπτομένης τῆς ὄψιος. Ὁκόταν οὖν [6]ἐς τοῦτο ἥκῃ ὤνθρωπος, ἐγγὺς ἤδη τοῦ κάμνειν ἐστίν· [7]ὅ τι δὲ ἥξει νούσημα, ἄδηλον· ὁκοίη γὰρ ἂν ἔλθῃ ἀπόκρισις καὶ [8]ὅτου ἂν κρατήσῃ, τοῦτο ἐνόσησεν. Ἀλλ' οὐ χρὴ προέσθαι τὸν φρονέοντα, ἀλλ' ὁκόταν ἐπιγνῷ τῶν τεκμηρίων τὰ πρῶτα, [9]τῆς θεραπείης ἔχεσθαι, καὶ δὴ τοῦτον ὥσπερ τὸν πρότερον ἐκθεραπευθῆναι, πλείονος δὲ χρόνου καὶ λιμοκτονίης δέεται.

72. Ἐστὶ δὲ [10]καὶ τὰ τοιάδε τεκμήρια πλησμονῆς· ἀλγέει τὸ σῶμα [11]οἷσι μὲν ἅπαν, οἷσι δὲ μέρος τι τοῦ σώματος ὅ τι ἂν τύχῃ· τὸ [12]δὲ ἄλγος ἐστὶν ὁκοῖον κόπος· δοκέοντες οὖν κοπιῆν, ῥαθυμίῃσί τε καὶ πλησμονῇσι θεραπεύονται, μέχρις ἂν ἐς πυρετὸν ἀφικνῶνται· καὶ [13]οὐδέκω οὐδὲ τοῦτο γινώσκουσιν, ἀλλὰ λουτροῖσί τε καὶ σιτίοισι χρη-

[1] Ὅταν θ. – ὑπὸ E (H, al. manu ἀπὸ) KQ', Zwing. in marg., Lind. – ἀπὸ vulg. – σίτων θ. – τοιάδε EHQ', Zwing. in marg., Lind. – καὶ τοιάδε θ. — [2] πλεισμονῆς θ. – ἐγγίνονται θ. — [3] καί τι τῆς θ. – καὶ ἐπὶ τῆς vulg. – ὑγρανθείσης om. (E, restit. al. manu) FGHIJKθ, Ald. – D'après Mack θ a ὑγρανθείσης. – γαληνίζεται θ. – γαληνίζει vulg. – διαχεομένου Mack. — [4] πλεισμονὴν θ. — [5] δὴ EHKP'Q'θ, Zwing. in marg., Lind., Mack. – δὴ om. vulg. – ἀλλὰ EHK. – δοκέειν θ. — [6] εἰς EHIJK. – ἥκη (sic) θ. – ὤνθρωπος EHθ. – ὁ ἄνθρωπος vulg. — [7] ὅτι δὲ ἕξει (ἥξει GHIJK, Ald., Zwing., Lind.; ἥξῃ E) τὸ νούσημα (νόσημα EHJK) μάλα δῆλον· ὁκοία (ὁκοίη Lind., Mack) γὰρ vulg. – ὅτι ἥξει νόσημα ἄδηλον· ὁκοίη γὰρ θ. – Lisez ὅ τι et prenez la leçon de θ. — [8] ὅκου θ, Mack. – ἣν pro ἂν EHK. – ἐνοσοποίησεν θ, Mack. – πρόεσθαι H. – προσείσθαι (sic) θ. – προσείεσθαι Mack. – Mack dit que telle est la leçon de θ. – ἀφρονέοντα vulg. – εὐφρονέοντα E. – φρονέοντα θ, Mack. – ὅταν θ. – τῶν τεκμηρίων om. θ, Mack. — [9] τῇσι θεραπείῃσιν ὥσπερ τὸν πρῶτον ἐκθεραπευθῆναι θ. – καὶ δὴ τοῦτον om., restit. al. manu H. – δεῖ pro δὴ EIJK. – δεῖται θ. — [10] καὶ τοιάδε τὰ (τὰ om. EK) τεκμήρια vulg. – καὶ τὰ τοιάδε τεκμήρια πλεισμονῆς θ. — [11] οἷσι (bis) θ. – οἷς (bis) vulg. – ὅ τι ἂν τύχῃ om. θ. — [12] δ'

71. (*Deuxième cas où les aliments l'emportent sur les exercices. Il est caractérisé par la somnolence.*) Il y en a qui, lorsque les exercices sont surmontés par les aliments, présentent ces accidents-ci : au début de la pléthore, ils ont des sommeils prolongés et qui leur sont agréables, ils dorment aussi un peu le jour. Ce sommeil vient de ce que la chair est humectée, le sang se dilate, et le souffle se calme par sa diffusion. Mais quand le corps ne reçoit plus la pléthore, alors il se fait une sécrétion au dedans par la force du mouvement circulaire, lequel, étant opposé à la nourriture fournie par les aliments, trouble l'âme. A ce moment les sommeils ne sont plus agréables, mais nécessairement l'homme est troublé, et il lui semble se battre; en effet ce que le corps ressent, l'âme le voit, quand les yeux sont fermés. A ce point la maladie est proche ; mais quelle maladie? c'est ce qu'on ne sait pas ; car cela dépend de la nature de la matière séparée et de la partie dont cette matière triomphera. L'homme sage ne laissera pas aller les choses jusque-là ; mais, les premiers signes une fois reconnus, on se mettra au traitement, qui sera comme pour le cas précédent ; seulement il faut plus de temps et une abstinence plus rigoureuse.

72. (*Troisième cas où les aliments l'emportent sur les exercices. Il est caractérisé par des douleurs générales ou partielles.*) Voici encore des signes de plénitude : le corps est douloureux, chez les uns en totalité, chez les autres en une partie, celle que frappe la chance ; cette douleur est comme une courbature. Croyant donc être courbatus, les patients se traitent par le repos et la bombance jusqu'à ce que la fièvre les saisisse ; alors même ils se méprennent, et, usant de bains et d'aliments, la maladie devient une péripneumonie qui les met à toute extrémité. Mais

EHK. – οἱονεὶ θ. – καὶ δοκέουσι (δοκοῦντες EHK ; δοκέοντες Q') κοπιῆν vulg. – δοκέοντες οὖν κοπιῆν θ. – τε om. θ. – πλεισμονῆσι θ. – μέχρι ἣν ἐς θ. – μέχρι ἐς, al. manu μέχρι ἂν ἐς H. – ἐς om. E. — [13] οὐδέκω EHP'. – οὐδέπω vulg. – λουτρῆσι G, Ald. – σίτοισι EHθ. – εἰς EHIJK. – περιπν. GJ. – νόσημα EHIJKθ.

σάμενοι ἐς περιπλευμονίην κατέστησαν τὸ νούσημα, καὶ ἐς κίνδυνον τὸν ἔσχατον ἀφικνέονται. Ἀλλὰ χρὴ προμηθέεσθαι πρὶν [1]ἂν ἐς τὰς νούσους ἀφικνέωνται, καὶ θεραπεύεσθαι τῷδε τῷ τρόπῳ· μάλιστα μὲν πυριηθέντα μαλακῇσι πυριῇσι [2]τὸν ἄνθρωπον· εἰ δὲ μὴ, λουσάμενον πολλῷ καὶ θερμῷ, [3]διαλύσαντα τὸ σῶμα ὡς μάλιστα, χρησάμενον [4]τοῖσι σιτίοισι πρῶτον μὲν τοῖσι δριμέσι καὶ πλείστοισιν, εἶτα [5]τοῖσιν ἄλλοισιν ἐξεμέσαι εὖ, καὶ ἐξαναστάντα περιπατῆσαι ὀλίγον χρόνον ἐν ἀλέῃ, ἔπειτα καταδαρθεῖν· πρωῒ δὲ τοῖσι περιπάτοισι [6]πολλοῖσιν ἐξ ὀλίγου προσάγοντα χρέεσθαι καὶ τοῖσι γυμνασίοισι κούφοισι καὶ τῇσι προσαγωγῇσι καθάπερ καὶ [7]τὸ πρότερον· ἰσχνασίης δὲ τοῦτο πλείστης δέεται καὶ περιπάτων. Ἢν δὲ μὴ προνοηθεὶς ἐς πυρετὸν ἀφίκηται, [8]προσφέρειν μηδὲν ἄλλο ἀλλ' ἢ ὕδωρ ἡμερέων τριῶν· ἢν μὲν οὖν ἐν [9]ταύτῃσι παύσηται· εἰ δὲ μὴ, πτισάνης χυλῷ θεραπεύεσθαι, [10]καὶ ἢ τεταρταῖος ἢ ἑβδομαῖος ἐκστήσεται, [11]εἰ ἐξιδρώσει· ἀγαθὸν δὲ τοῖσι χρίσμασι χρέεσθαι τοῖσιν ἱδρωτικοῖσιν ὑπὸ τὰς κρίσιας, ἐξαναγκάζουσι γάρ.

73. Πάσχουσι δέ τινες καὶ τοιάδε ἀπὸ [12]πλησμονῆς· τὴν κεφαλὴν ἀλγέουσι καὶ βαρύνονται, καὶ τὰ βλέφαρα πίπτει αὐτέοισιν ἀπὸ τοῦ δείπνου, ἔν τε τοῖς ὕπνοις [13]ταράσσονται, καὶ δοκέει θέρμη ἐνεῖναι, ἥ τε κοιλίη ἐφίσταται ἐνίοτε· ὁκόταν [14]δὲ ἀφροδισιάσῃ, δοκέει κουφότερος εἶναι ἐς τὸ παραυτίκα, ἐξ ὑστέρου δὲ μᾶλλον βαρύνεται· τούτοισιν ἡ κεφαλὴ τὴν πλησμονὴν ἀντισπῶσα τὴν τε κοιλίην ἐφίστησι, καὶ αὐτὴ βαρύνεται· κίνδυνοί [15]τε ὑπόκεινται κακοὶ, καὶ ὅκη ἂν ῥαγῇ ἡ πλησμονὴ, τοῦτο διαφθείρει. Ἀλλὰ χρὴ προμηθέεσθαι

[1] Ἂν om. EHKθ. – νόσους EGIJ. – ἀφικνέεσθαι, al. manu ἀφικνέωνται H. – ἀφίκηται θ. – μάλιστα μὲν om. FGIJ. — [2] τὸν ἄνθρωπον om. (H, restit. al. manu) θ. – Ante πολλῷ addunt ὕδατι EHKθ, Mack. — [3] διαλούσαντα J. — [4] τῶν σιτίων θ. — [5] τοῖς H. – ἁλυκοῖσιν vulg. – ἄλλοισιν θ. – ὀλίγον χρόνον om. GIJ. – ἀλέῃ J. – ἔπειτα καταδαρθεῖν om. θ. – καταδραθεῖν EHIJ. — [6] πολλοῖσιν θ. – πολλ. om. vulg. — [7] τὸ om. θ. – οὗτος pro τοῦτο θ. – δεῖται θ. – εἰς E. – ἀφίκηται ἐς πυρετὸν θ. — [8] προσφέρειν EGJKθ, Ald., Zwing., Mack. – προφέρειν vulg. – μηθὲν θ. – ἄλλο om., restit. al. manu H. – ἀλλ' om. θ. – ἡμερέων τριῶν om. FGJ. — [9] ταύτῃσι θ, Mack. – ταύτῃ vulg. – Post παύσηται addit καλῶς ἔχει Charterius. – Cette addition n'est justifiée par aucun manuscrit, et est d'ailleurs inutile. – ἢν δὲ μὴ θ. – πτισσάνης EG, Ald., Lind., Mack. — [10] καὶ om., restit. al. manu H. – ἢ γὰρ pro καὶ ἢ θ. – τεταρταίοις ἢ ἑβδομαίοις EHIJKQ'. – τεταρταίοισιν ἢ ἑβδομαίοισιν P', Mack. — [11] ἢ pro εἰ EHK. – καὶ pro εἰ θ. – χρήμασι τ. ἱδρ. χρῆσθαι θ. – ἀναγκάζουσι J. — [12] πλει-

il faut prendre ses précautions contre la maladie imminente et se traiter ainsi : On prendra surtout de molles étuves ; sinon, on se lavera avec beaucoup d'eau chaude, on détendra le corps autant que possible ; et, usant d'aliments d'abord âcres et très-abondants, puis de toute espèce, on vomira bien ; ensuite on fera un tour de peu de durée au chaud, après quoi on dormira. Le matin on fera de grandes promenades, commençant par peu et augmentant graduellement. Les exercices seront légers et graduellement augmentés comme dans le cas précédent. Un état pareil demande beaucoup d'atténuation et de promenades. Si, négligeant les précautions, on arrive à la fièvre, on ne prendra rien autre que de l'eau pendant trois jours ; le mal cesse-t-il dans cet intervalle ? cela suffit ; sinon, on usera de l'eau d'orge, et le troisième ou le quatrième jour le patient sera hors d'affaire s'il a une sueur. Il est bon aussi de l'oindre avec les onguents sudorifiques à l'approche des crises ; car ils provoquent la diaphorèse.

73. (*Quatrième cas où les aliments l'emportent sur les exercices. Il est caractérisé par la céphalalgie et la pesanteur de tête.*) Quelques-uns présentent ces symptômes-ci de plénitude : ils ont de la céphalalgie et de la pesanteur de tête, les paupières leur tombent après le dîner ; dans le sommeil ils sont troublés, ils semblent avoir de la chaleur fébrile, et quelquefois le ventre se constipe. Après le coït, ils paraissent, pour le moment, être plus à l'aise, mais consécutivement ils se sentent plus pesants. Dans ce cas la tête, agissant par révulsion sur la pléthore, resserre le ventre et devient elle-même pesante. Le danger est grand, et la plénitude corrompt la partie quelconque sur laquelle elle fait irruption. Il faut se précautionner ainsi : veut-on que le traitement soit court ?

σμονῆς θ. – ἀλγέουσι καὶ βαρύνονται θ, Mack. – ἀλγέει καὶ βαρύνεται vulg. – αὐτοῖσιν θ. – τοῖσιν ὕπνοισι Mack. — [13] ταράσσονταί τε καὶ θ. – θερμὴ, al. manu θέρμη H. – εἶναι θ. — [14] δ' θ. – ὕστερον pro ἐξ ὑστέρου J, Zwing. in marg. – πλεισμονὴν θ. — [15] τε θ, Mack. – δὲ pro τε vulg. – κακοὶ, καὶ θ, Mack. – κακοὶ, καὶ om. vulg. – ὅκου θ. – ἣν pro ἂν Hθ. – πλεισμονὴ θ.

ὧδε· ἢν [1] μὲν βούληται τὴν θεραπείην ταχείην ποιέεσθαι, προπυριηθέντα ἐλλεβόρῳ καθαρθῆναι, εἶτα προσάγειν τοῖσι σιτίοισι κούφοισι καὶ μαλακοῖσιν ἐφ' ἡμέρας δέκα· τοῖσι δὲ [2] σιτίοισι διαχωρητικοῖσιν, ὅκως κρατήσει ἡ κάτω κοιλίη [3] τὴν κεφαλὴν τῇ κάτω ἀντισπάσει· καὶ τοῖσι δρόμοισι βραδέσι καὶ τοῖσιν [4] ὀρθρίοισι περιπάτοισιν ἱκανοῖσι, τῇ τε ἐν ἐλαίῳ πάλῃ· ἀρίστῳ τε χρέεσθαι καὶ ὕπνῳ ἀπὸ τοῦ ἀρίστου [5] μὴ μακρῷ· ἀπὸ τοῦ δείπνου δὲ ὁκόσον ἐξαναστῆναι ἱκανόν· καὶ τὸ μὲν λούεσθαι, τὸ δὲ χρίεσθαι, λούεσθαι δὲ χλιερῷ, λαγνείης δὲ ἀπέχεσθαι. Αὕτη μὲν ἡ [6] ταχυτέρη θεραπείη· εἰ δὲ μὴ βούλοιτο φαρμακοποτέειν, λουσάμενον πολλῷ, [7] ἐμέσαι σιτίοισι χρησάμενον τοῖσι δριμέσιν, ὑγροῖσι καὶ γλυκέσι καὶ ἁλμυροῖσιν, ἐξ ἐμέτου δὲ ὅσον ἐξαναστῆναι· πρωῒ δὲ τοῖσι περιπάτοισι πραέσι προσάγειν καὶ τοῖσι γυμνασίοισι τοῖσι προγεγραμμένοισιν ἐς ἡμέρας ἕξ· τῇ [8] δὲ ἑβδόμῃ πλησμονὴν προσθέντα ἔμετον ποιήσασθαι ἀπὸ τῶν ὁμοίων σιτίων, καὶ προσάγειν κατὰ τωὐτό· [9] χρέεσθαι δὲ τούτοισιν ἐπὶ τέσσαρας ἑβδομάδας, μάλιστα γὰρ ἐν τοσούτῳ χρόνῳ καθίσταται· εἶτα προσάγειν [10] τοῖσί τε σίτοισι καὶ τοῖσι πόνοισι, τούς τε ἐμέτους σὺν πλείονι χρόνῳ ποιέεσθαι, τά τε σιτία ἐν ἐλάσσονι προσάγειν, ὅκως τὸ σῶμα ἀνακομίσηται, καθιστάναι [11] τε τὴν δίαιταν ἐς τὸ σύνηθες κατὰ μικρόν.

74. Γίνεται δὲ καὶ τοιάδε ἀπὸ [12] πλησμονῆς· ὁκόσοισιν ἡ μὲν κοιλίη καταπέσσει τὸ σιτίον, αἱ δὲ σάρκες μὴ δέχονται, ἐμμένουσα [13] ἡ τροφὴ φῦσαν ἐμποιέει· ὁκόταν δὲ ἀριστήσῃ, καθίσταται, ὑπὸ γὰρ τοῦ ἰσχυροτέρου τὸ κουφότερον ἐξελαύνεται, καὶ δοκέουσιν ἀπηλλά-

[1] Μὲν θ. – μὲν om. vulg. – ταχεῖαν J. – ταχυτέρην, quod scribitur post ποιέεσθαι θ. – προπυριηθέντα θ. – προπ. om. vulg. – μαλθακοῖσιν θ. – ἐφ' θ (ἐς E; εἰς K, Ald.). – ἐφ' om. vulg. — [2] ὀπτοῖσι pro σιτίοισι θ. – κρατήσῃ vulg. — [3] τὴν (addunt ἄνω P'Q', Zwing. in marg.) κεφαλὴν (addunt τὴν IJ, Ald.) κάτω (κάτω κεφαλὴν H) ἀντισπάσαι vulg. – τὴν κεφαλὴν [καὶ] κάτω ἀντισπάσῃ Lind. – τὴν κεφαλὴν τῇ κάτω ἀντισπάσι (sic) θ. – Mack dit que θ a ἀντισπάσῃ. — [4] Post ὀρθ. addit καὶ τοῖσι vulg. – καὶ τοῖσι om. θ. – πάλῃ ἐν ἐλαίῳ EHK. – χρήσθω θ. — [5] μὴ EHIKθ. – οὐ vulg. – ὅσον θ. – ὁκόταν pro ὁκόσον Ald. – λοῦσθαι δὲ θ. – λαγνίης θ. — [6] παχυτέρη E. – ταχυτάτη θ. – φαρμακοπωτεῖν (sic) θ. — [7] ἐμέσαι ἐκ σιτίων γλυκέων καὶ ἁλυκῶν vulg. – ἐμέσαι ἐν (ἐν addit. al. manu H) σιτίοισι καὶ γλυκέσι καὶ ἁλμυροῖσι EHK. – ἐμέσαι σίτοισι χρησάμενον τοῖσι δριμέσιν, ὑγροῖσι καὶ γλυκέσι καὶ ἁλμυροῖσιν θ. – πραέσι θ. – πραέσι om. vulg. – γεγραμμένοισιν EHKθ. — [8] δ' θ. – πλεισμονὴν θ. – ποιῆσαι θ. – κατὰ om. H. – τωὐτὸ EHP'Q'θ, Lind., Mack. – τὸ ὡυτὸ Zwing.

on prendra d'abord des bains d'étuves, puis on se purgera par l'ellébore, après quoi on augmentera peu à peu ses aliments pendant dix jours ; aliments qui seront légers, émollients et favoriseront les évacuations alvines, afin que le ventre inférieur l'emporte sur la tête par la révulsion en bas. On usera de courses lentes, de promenades du matin suffisantes et de la lutte huilée. On déjeunera, et après le déjeuner on dormira, mais peu de temps. Après le dîner on se bornera à un tour de promenade. On se baignera et on s'oindra ; le bain sera tiède. On s'abstiendra du coït. Tel est le traitement le plus court. Mais, si l'on ne veut pas prendre un évacuant, on se lavera à grande eau, et l'on vomira après avoir pris des aliments âcres, humides, doux et salés ; après le vomissement on fera un tour de promenade. Le matin on fera de douces promenades qu'on augmentera, ainsi que les exercices ci-dessus écrits, pendant six jours. Le septième, on s'emplira des mêmes aliments et l'on vomira, puis on suivra la même progression. On se tiendra à ce régime pendant quatre semaines ; car c'est surtout dans cet intervalle que les symptômes disparaissent. Puis on augmentera les aliments et les exercices, on fera les vomissements après un intervalle plus long, et l'on reviendra aux aliments dans un intervalle plus court, afin que le corps se refasse, et qu'il se remette peu à peu à son régime habituel.

74. (*Cinquième cas où les aliments l'emportent sur les exercices. Il est caractérisé par des flatuosités, par la diarrhée et la dysenterie.*) La plénitude produit encore ces symptômes : il est des gens chez qui l'aliment est à la vérité digéré par le ventre, mais n'est pas reçu par les chairs. La nourriture, restant à l'intérieur, cause des flatuosités. Après le déjeuner cela s'apaise ; car le plus fort chasse le plus faible ; et

– τὸ αὐτὸ vulg. — [9] χρῆσθαι θ. – τέσσερας θ. — [10] τοῖσί τε.... προσάγειν θ. – τοῖσί τε.... προσάγειν om. vulg. – ἀνακομίσηται θ. – κομίσηται vulg. — [11] τε θ. – δὲ vulg. – δίαιταν θ, Zwing. – διαίτην L, Lind., Mack. – αἰτίην vulg. — [12] πλεισμονῆς θ. – μὲν ἡ vulg. – ἡ μὲν θ. – δέχωνται HK. — [13] Ante ἡ addunt δὲ GHIKθ. – ὅταν θ. – καθίστηται EH.

χθαι· τὸ δὲ [1]πολὺ πλέον ἐς τὴν ὑστεραίην παραγίνεται. Ὁκόταν δὲ καθ' ἡμέρην ἑκάστην αὐξανόμενον ἰσχυρὸν γένηται, ἐκράτησε τὸ [2]ὑπάρχον τῶν ἐπεισενεχθέντων, καὶ ἐξεθέρμηνε, καὶ ἐτάραξεν [3]ἅπαν τὸ σῶμα, καὶ ἐποίησε διαῤῥοίην· τοῦτο γὰρ ὀνομάζεται, ἕως [4]ἂν αὐτὴ μούνη σαπεῖσα ἡ τροφὴ ὑποχωρέῃ. Ὁκόταν δὲ θερμαινομένου τοῦ σώματος κάθαρσις [5]δριμέα γένηται, τό τε ἔντερον ξύεται καὶ ἑλκοῦται καὶ διαχωρέεται αἱματώδεα, τοῦτο δὲ δυσεντερίη καλέεται, νοῦσος χαλεπή τε καὶ ἐπικίνδυνος. Ἀλλὰ χρὴ προμηθέεσθαι καὶ τὸ ἄριστον ἀφαιρέεσθαι καὶ τοῦ δείπνου τὸ τρίτον μέρος· [6]τοῖσι δὲ πόνοισι πλείοσι, τῇσι πάλῃσι καὶ τοῖσι δρόμοισι καὶ περιπάτοισι χρέεσθαι, ἀπό τε τῶν γυμνασίων καὶ ὄρθρου· [7]ὁκόταν δ' ἡμέραι δέκα γένωνται, προσθεῖναι τοῦ σίτου τὸ ἥμισυ τοῦ ἀφαιρεθέντος, καὶ ἔμετον ποιήσασθαι, καὶ προσαγαγεῖν ἐς ἡμέρας τέσσαρας· ὁκόταν δὲ ἄλλη δεκὰς γένηται, [8]τόν τε σῖτον τὸν λοιπὸν προσθέσθαι, καὶ ἔμετον ποιήσασθαι, καὶ προσάγων πρὸς [9]τὸν σῖτον ὑγιέα ποιήσεις ἐν τούτῳ τῷ χρόνῳ· τοῖσι δὲ πόνοισι θαῤῥεῖν τὸν τοιοῦτον πιέζων.

75. [10]Γίνεται δὲ καὶ τοιάδε πλησμονή· ἐς τὴν ὑστεραίην τὸν σῖτον ἐρυγγάνεται ὠμὸν ἄτερ ὀξυρεγμίης, [11]ἡ δὲ κοιλίη διαχωρέει, ἐλάσσω μὲν ἢ πρὸς τὰ σιτία, ὅμως δὲ ἱκανῶς, πόνος δὲ οὐδεὶς ἐγγίνεται· τουτέοισιν ἡ κοιλίη ψυχρὴ ἐοῦσα οὐ δύναται καταπέσσειν [12]τὰ σιτία ἐν τῇ νυκτί· ὁκόταν γοῦν κινηθῇ, ἐρυγγάνεται τὸν σῖτον ὠμόν. Δεῖ οὖν τούτῳ παρασκευάσαι τῇ κοιλίῃ θερμασίην ἀπό τε τῆς διαίτης [13]ἀπό τε τῶν πόνων· [14]καὶ πρῶτον μὲν οὖν χρὴ ἄρτῳ θερμῷ χρέε-

[1] Πουλὺ Lind., Mack. – πλεῖον EHK. – ὑστερέην J. – ὅταν θ. — [2] ὑπαρχόντων θ. – ἐπεισηνεχθέντων E. – ἐπισενεχθέντων θ. — [3] ἅπαν θ. – ἂν (ἂν om. EGHIJ) pro ἅπαν vulg. – διάρροιαν θ. — [4] ἣν pro ἂν Hθ. – ἂν om. K. – αὔτη θ. – μόνη EHK. – ὑποχωρέῃ EIJK. – ὑποχωρέει vulg. (H, al. manu η). – χωρέει θ. — [5] δριμια (sic) θ. – διαχωρέει K. – αἱματώδη E. – δυσεντερία K. – τε om. Eθ. – D'après Mack, dans θ καὶ manque. – Post ἐπικίνδυνος addit μάλιστα ἀπὸ μελαίνης χολῆς θ. — [6] τοῖσι δὲ δρόμοισι πλείοσι καὶ τῇσι πάλῃσι καὶ τοῖσι περιπάτοισι χρέεσθαι vulg. – τοῖσι δὲ πόνοισι πλείοσι τῇσι πάλῃσι καὶ τοῖσι δρόμοισι καὶ περιπάτοισι χρῆσθαι θ. — [7] ὁκόταν δέκα γίνωνται vulg. – ὁκόταν δή (δέ Zwing. in marg., Lind.) περ αἱ δέκα γένωνται EGHIJK, Ald., Zwing. in marg., Lind. – ὅταν δ' ἡμέραι δέκα γένωνται θ. – προσθέσθαι θ. – προσαγαγεῖν GIJ, Zwing., Lind., Mack. – προαγαγεῖν vulg. – προσάγειν θ. – ἐς om. θ. – τέσσερας θ. — [8] τό τε σίτον τὸ λοιπὸν θ. – προσθέσθω EH. – ποίησαι, al. manu ποιήσασθαι H. — [9] τὸ σίτον ὑγιᾶ θ. – θαρρεῖ θ. – Sans doute pour θάῤῥει. — [10] Ante γίνεται addit ἑτέρα Q'. – πλησμονὴ om. (H, restit. al. manu) θ. – ἐς τὴν ὑστεραίην om. FGJK. – ὑστέραν· ἣν pro ὑστεραίην θ. — [11] ἣν δὲ ἡ

ils semblent débarrassés ; mais le lendemain le même état revient avec plus d'intensité. Quand, accrue chaque jour, la plénitude devient considérable, alors ce qui est déjà dans le corps triomphe de ce qui y est ingéré, allume la chaleur, trouble tout le corps et cause la diarrhée ; car c'est le nom dont on se sert tant que la nourriture corrompue est seule évacuée. Mais quand, le corps étant échauffé, l'évacuation devient âcre, l'intestin est raclé, ulcéré, et les selles sont sanguinolentes ; alors on dit qu'il y a dysenterie, maladie difficile et dangereuse. Il faut se précautionner, supprimer le déjeuner et le tiers du dîner. On augmentera les exercices, luttes, courses et promenades après le gymnase et le matin. Au bout de dix jours, on reprendra la moitié des aliments ôtés, on vomira, et l'on ira progressivement pendant quatre jours. Au bout de dix autres jours, on reprendra le reste des aliments, on vomira, et, allant progressivement, on reprendra la santé en cet intervalle de temps. Dans ce cas on peut hardiment appuyer sur les exercices.

75. (*Sixième cas où les aliments l'emportent sur les exercices. Il est caractérisé par des éructations qui rejettent l'aliment non digéré.*) Voici encore une plénitude : le lendemain l'aliment est rejetté, non digéré, sans rapport aigre. Le ventre évacue moins que cela ne devrait être en proportion des aliments, mais passablement néanmoins ; aucune souffrance ne se fait sentir. Dans ce cas, le ventre, étant froid, ne peut digérer les aliments pendant la nuit ; quand donc il éprouve du mouvement, il rejette l'aliment non digéré. Il faut, ici, procurer au ventre de la chaleur et par le régime et par les exercices ; et d'abord on usera de pain chaud fermenté, qu'on

κοιλίη διαχωρέῃ (διαχωρέει Mack) vulg. – ἡ δὲ κοιλίη διαχωρέει θ, Lind. – Mack dit que θ a διαχωρέῃ. – σῖτα θ. – τούτοισιν θ. — [12] τὸν σῖτον θ. – οὖν E Hθ. – κεινηθῇ θ. – τοῦτο, al. manu τούτω H. — [13] καὶ ἀπό τε EH. – καὶ pro ἀπὸ τε θ. — [14] καὶ om. EHθ. – θερμῶ θ. – συγκομιστῷ pro θερμῷ vulg. – χρῆσθαι ζυμητη (sic) θ. – Post διαθρ. addit δὲ (δ' EH) vulg. – δὲ om. θ. – εἰς Mack. – Mack dit que θ a εἰς ; ma collation porte ἐς. – ἢ ἐς ζωμὸν EGHIKθ. – ὕειον θ. – χρεῶν om. (H, restit. al. manu) θ.

σθαι ζυμίτῃ, διαθρύπτοντα ἐς οἶνον μέλανα ἢ ζωμὸν ὑείων κρεῶν· τοῖσί [1]τε ἰχθύσιν ἑφθοῖσιν ἐν ἅλμῃ δριμείῃ· χρέεσθαι μὲν καὶ τοῖσι σαρκώδεσιν, οἷον ἀκροκωλίοισί τε διέφθοισι τοῖσιν ὑείοισι, [2]τοῖσί τε πίοσιν ὑείοισιν ὀπτοῖσι, τοῖσι [3]δὲ χοιρείοισι μὴ πολλοῖσι καὶ σκυλάκων μηδὲ ἐρίφων· λαχάνοισι [4]δὲ πράσοισί τε καὶ σκορόδοισιν ἑφθοῖσι καὶ ὠμοῖσι, βλίτῳ [5]τε ἑφθῷ καὶ κολοκύντῃ· πόμασί τε ἀκρητεστέροισιν, ὕπνοισί τε μακροῖσιν, [6]ἀναριστίῃσι τὴν πρώτην· ὕπνοισί τε ἀπὸ τῶν γυμνασίων, τοῖσί [7]τε δρόμοισι καμπτοῖσιν, ἐξ ὀλίγου προσάγων, πάλῃ τε μαλακῇ ἐν ἐλαίῳ, λουτροῖσί τε ὀλίγοισι, χρίσμασί [8]τε πλείοσι, τοῖσί [9]τε πρωῒ περιπάτοισι πλείστοισιν, ἀπὸ δείπνου τε ὀλίγοισι· καὶ τὸ σῦκον μετὰ τῶν σιτίων ἀγαθὸν, ἄκρητός τε ἐπ' αὐτέῳ. Ἐκ δὲ ταύτης τῆς θεραπείης καθίσταται [10]τοῖσι μὲν θᾶσσον, τοῖσι δὲ βραδύτερον.

76. Ἄλλοι δέ τινες τοιάδε πάσχουσιν, ἀχροοῦσι τὴν ὄψιν, καὶ, ὁκόταν φάγωσιν, ἐρυγγάνουσιν ὀλίγον ὕστερον [11]ὀξέα, καὶ ἐς τὰς ῥῖνας ἀνέρπει τὸ ὀξύ. Τούτοισι τὰ σώματα οὐ καθαρά ἐστιν· [12]ὑπὸ γὰρ τοῦ πόνου πλεῖον τὸ συντηκόμενον τῆς σαρκὸς ἢ τὸ ἀποκαθαιρόμενον ὑπὸ τῆς περιόδου· ἐμμένον δὴ τοῦτο ἐναντιοῦται τῇ τροφῇ, καὶ βιάζεται, καὶ ἀποξύνει. Ἡ μὲν οὖν τροφὴ ἐρυγγάνεται, [13]αὐτὸ δὲ ὑπὸ τὸ δέρμα ἐξωθέεται, καὶ τῷ ἀνθρώπῳ ἄχροιαν ἐμποιέει, καὶ νούσους ὑδρωποειδέας ἀποκυΐσκει. Ἀλλὰ χρὴ προμηθέεσθαι ὧδε·

[1] Τε θ. – δὲ vulg. – ἐν ἅλμῃ ἑφθοῖσι G. – χρῆσθαι θ. – οἷον om. (E, restit. al. manu) H. – ἤγουν pro οἷον FGIJK. – ἀκρωκωλίοισι Frob., Zwing. – ἄκροις διεφθοῖς τοῖς ὑείοις θ. – ὑοῖσι (sic) IJ, Ald. – οἰοῖσιν (sic) Q', quod exponit προβατίοις. – οἰείοισι Lind., Mack. — [2] πλείοσι, καὶ τοῖσι ὑείοισι ἑφθοῖσι (καὶ τοῖσι ὑ. ἑφθ. om. EFGIK) vulg. – πλείοσι, καὶ τοῖσι πλείοσιν ὑοῖσιν ἑφθοῖσι H. – τοῖσί τε πίοσιν ὑείοις ὀπτοῖσι, sine πλείοσι præeunte θ. — [3] δὲ θ. – τε vulg. – χοιρίοισι Hθ. – μηδὲ θ, Mack. – καὶ pro μηδὲ vulg. – ἐρύφων G, Ald., Frob., Mack. – Mack dit que θ a ἐρύφων; ma collation porte ἐρίφων. — [4] τε Hθ. – σκόρδοισιν, al. manu σκορόδοισιν H. — [5] δὲ pro τε θ. – τῆς τε κολοκύντης pro καὶ κολ. EHθ. – τοῖς τε κολοκύντοις Zwing. in marg. – ποτοῖσί τε ἀκρήτοισιν θ. – ὕπνοισί τε μακροῖσιν om. θ. — [6] Ante ἀν. addit καὶ Lind. – ἀναριστῆν τε τὴν θ. – ἀριστείῃσι EH. – ὑγμασίων (sic) θ. — [7] δὲ pro τε J. – προσάγειν τε πάλην μαλακὴν (μαλθακὴν Mack) vulg. – προσάγων πάλην τε μαλακὴν EH. – προσάγοντα πάλην μαλακὴν Lind. – προσάγων πάλη τε μαλακῇ θ. – ἐν om., restit. al. manu H. — [8] τε E. – τε om. vulg. — [9] τε om. θ. – πλείστοισιν EHθ. – πλείοσιν vulg. – σύκον Ald. – σίτων θ. – ἄκρητος θ. – ἄκρατον vulg. – αὐτῷ θ. — [10] τοῖς GJ. – βραδειον (sic) θ. – τὴν ὄψιν om. (H, restit. al. manu) θ. – ὅταν θ. — [11] ὀξὺ θ. — [12] ὑπό τε γὰρ EGHIJK, Ald. – ἀπὸ

écrasera dans du vin noir ou du bouillon de viande de porc; on mangera des poissons bouillis dans de la saumure âcre; on mangera aussi de la viande, telle que des extrémités de porc bien bouillies, de la viande de porc grasse rôtie, peu de cochon de lait, peu de petit chien et de chevreau; en fait de légumes, le porreau, l'ail bouilli et cru, la bette bouillie et la citrouille. On prendra le vin assez pur; on prolongera le sommeil; et dans le premier temps on supprimera le déjeuner. On dormira après les exercices; on usera des courses recourbées, les accroissant graduellement. La lutte huilée, avec ménagement. Peu de bains; beaucoup d'onctions; beaucoup de promenades le matin, peu après le dîner. Les figues avec les aliments sont bonnes, et du vin pur par dessus. Grâce à ce traitement, la plénitude disparaît chez les uns plus tôt, plus tard chez les autres.

76. (*Premier cas où les exercices l'emportent sur les aliments. Il est caractérisé par la décoloration du teint et par des rapports aigres peu après le repas. Ces cas sont toujours désignés comme des cas de plénitude; c'est qu'en effet, dans la théorie de l'auteur, l'exercice excessif fond les chairs et produit une plénitude d'humeurs.*) D'autres présentent ces symptômes : ils ont mauvais teint; après avoir mangé, ils ont, peu après, des rapports aigres, qui vont jusque dans le nez. Chez ceux-ci le corps n'est pas pur; car l'exercice fond plus de la chair que le mouvement circulaire ne peut éliminer; cela, demeurant dans l'intérieur, s'oppose à l'aliment, le violente et le rend aigre. En cet état l'aliment est rejetté par éructation, et l'humeur surabondante est poussée sous la peau, ce qui produit le mauvais teint et engendre des maladies de forme hydropique. Mais il faut se précautionner : le traitement le

γὰρ τοῦ πόνου πλείονος ἐόντος συντηκομένης τῆς σαρκὸς τὸ ἀποκαθαιρόμενον θ. – ἀποξυνεῖ θ. — [13] αὐτὸ δὲ τὸ (τὸ om. Mack) ὑπὸ τὸ δέρμα θ, Mack. – Suivant Mack θ n'a pas ce τό. – ὑπὸ τοῦ δέρματος vulg. – ἀχροιᾶν (sic) θ. – ἀχροιῆν E (H, al. manu ἄχροιαν). – νούσους EHθ, Mack. – νόσους vulg. – ὑδροποειδέας IK. – ὕδρωπος (sic) ἰδέας θ. – ἀποκυΐσκει om. (H, restit. al. manu) θ. – D'après Mack θ a νούσους ὑδρωποειδέας ἀποκήσκει (sic).

ἡ μὲν [1]οὖν ταχυτέρη θεραπείη, ἐλλέβορον πίσαντα προσάγειν, ὥσπερ γέγραπταί μοι· [2]ἡ δὲ ἀσφαλεστέρη ὑπὸ τῆς διαιτήσιος ὧδε· πρῶτον μὲν λουσάμενον θερμῷ ἔμετον ποιήσασθαι, εἶτα προσάγειν [3]ἐς ἡμέρας ἀπὸ τοῦ ἐμέτου ἑπτὰ τὸ σιτίον τὸ εἰθισμένον· δεκάτῃ δὲ ἡμέρῃ ἀπὸ τοῦ ἐμέτου αὖθις [4]ἐμεέτω, καὶ προσαγέτω κατὰ τωὐτὸ· καὶ [5]τὸ τρίτον ὡσαύτως ποιησάτω· τοῖσι [6]δὲ τροχοῖσιν ὀλίγοισι καὶ ὀξέσι καὶ ανακινήμασι καὶ [7]τρίψει, καὶ [8]διατριβῇ πολλῇ χρήσθω [9]ἐν τῷ γυμνασίῳ, καὶ ἀλινδήσει [10]χρεέσθω· τοῖσί τε περιπάτοισι πολλοῖσιν ἀπὸ τῶν γυμνασίων, [11]ἀλλὰ μὴν καὶ ἀπὸ τοῦ δείπνου, πλείστοισι δὲ τοῖσιν ὀρθρίοισιν· [12]ἐγκονιόμενος δὲ χριέσθω· ὁκόταν δὲ λούεσθαι θέλῃ, θερμῷ λουέσθω· ἀνάριστος δὲ διατελεέτω τοῦτον τὸν χρόνον. Καὶ ἢν μὲν [13]ἐν μηνὶ καθιστῆται, θεραπευέσθω τὸ λοιπὸν τοῖσι προσήκουσιν· ἢν δέ [14]τι ὑπόλοιπον ᾖ, χρεέσθω τῇ θεραπείῃ.

77. Εἰσὶ δέ τινες οἷσιν ἐς τὴν [15]ὑστεραίην ὀξυρεγμίαι γίνονται· τούτοισιν ἐν τῇ νυκτὶ ἡ ἀπόκρισις ἀπὸ τῆς πλησμονῆς γίνεται· ὁκόταν οὖν κινηθῇ [16]ἐκ τοῦ ὕπνου τὸ σῶμα, πυκνοτέρῳ τῷ πνεύματι χρησάμενος, βιάζεται ἔξω σὺν τῷ πνεύματι θερμόν τε καὶ ὀξὺ, [17]καὶ ἐκ τούτου νοῦσοι γίνονται, ἢν μή που προμηθείῃ χρέηται. [18]Ξυμφέρει δὲ καὶ τούτοισιν ὡς καὶ τῷ προτέρῳ τὴν θεραπείην ποιήσασθαι· τοῖσι δὲ πόνοισι πλείοσι [19]χρὴ τούτους χρέεσθαι.

78. Γίνεται δέ τισι καὶ [20]τοιάδε· ἐν τοῖσι πυκνοσάρκοισι τῶν

[1] Οὖν om. Hθ. – πείσαντα θ. – ὥσπερ μοι πρότερον γέγραπται θ. — [2] ἡ δὲ βραδυτέρη ὑπὸ τῆς διαιτήσιος θ. – ἀπὸ Q'. – διαίτης vulg. — [3] ἐς θ. – ἐς om. vulg. – ἀπὸ τοῦ ἐμέτου om. (H, restit. al. manu) θ. – ἀπὸ τοῦ ἐμέτου ἡμέρας ζ K. — [4] ἐμείτω θ. – τὸ ωὐτὸ vulg. – τωὐτὸ EHθ, Mack. — [5] τὸ om. E. – Post ποιησάτω addit καὶ δρόμους (δρόμοις L; δρόμοισι K', Mack) vulg. – καὶ δρόμους om. (H, restit. al. manu) θ. — [6] δὲ EHQ'θ, Zwing. in marg. – μὲν vulg. – ὀλίγους καὶ ὀξέους (sic) G. – ἐγκινήμασι K'. – ἐν κινήμασι (κινήματι J) vulg. – ἀνακινήμασι Zwing. in marg. – J'adopte la correction de Zwinger pour cette phrase, dont le texte précis reste toujours douteux. — [7] ἐν τρίψει (ἐντρίψει K') vulg. – ἐν om. θ. — [8] ἐν διατριβῇ (ἐνδιατριβῇ K') vulg. – ἐν om. θ. – χριέσθω Zwing. in marg., Lind., Mack. — [9] καὶ ἐν Lind., Mack. – ἐν τῷ γ. καὶ ἀλ. χρεέσθω om. θ. — [10] χρέεσθαι Zwing. in marg. – χρεέσθω δὲ καὶ τοῖσι περιπ. Lind., Mack. – χρεέσθω τοῖσι περιπ. vulg. – τοῖσί τε περιπάτοισι θ. – ἀπό τε τῶν EH. — [11] χρέεσθαι δὲ pro ἀλλὰ μὴν EHQ' (θ, χρῆσθαι). – πλὴν pro ἀλλὰ μὴν Lind. – μὲν pro μὴν Mack. – τοῖς GIJK. — [12] ἐκκεκονιωμένοισι (ἐνκεκον. E; ἐγκεκον. Zwing. in marg.) χρεέσθω vulg. – ἐνκονιόμενος δὲ χριέσθω θ. – D'après Mack θ a ἐγκονιώμενος. – ὅταν θ. – διατελείτω θ. — [13] ἐνὶ (ἐν ἐνὶ IJK) μηνὶ καθιστῶνται vulg. – ἐν μηνὶ καθίστηται (sic) θ, Mack. — [14] τι καὶ ὑπ. J. – χρήσθω θ. — [15] ὑστερέην J. – ἀποκρίσεις θ. – ἀπὸ P'Q'θ, Lind.,

plus court, c'est de prendre de l'ellébore, et puis d'aller progressivement dans le régime comme je l'ai dit. Mais le traitement le plus sûr est par le régime ainsi conduit : d'abord, après avoir pris un bain chaud, on vomira, puis on atteindra par gradation, en sept jours à compter du vomissement, la quantité habituelle de nourriture. Dix jours après le vomissement on vomira de nouveau ; après quoi on ira par gradation de la même manière. Une troisième fois on en fera autant. On usera des courses au cerceau peu et rapides, des jets de bras, de la friction et d'un long séjour dans le gymnase. On luttera sur la poussière. On se promènera beaucoup après les exercices, on se promènera aussi après le dîner, mais surtout le matin. On fera les onctions le corps plein de poussière. Si l'on veut prendre un bain, on le prendra chaud. Pendant ce temps on supprimera le déjeuner. Si dans le mois les symptômes disparaissent, on se traitera du reste de la manière convenable ; mais s'il y a encore quelque reliquat, on reprendra le traitement.

77. (*Deuxième cas où les exercices l'emportent sur les aliments. Il est caractérisé par des rapports aigres le matin au moment du réveil.*) Il est des gens à qui reviennent le lendemain des rapports aigres ; c'est que dans la nuit la plénitude leur cause une sécrétion ; quand donc le corps se livre à des mouvements après le sommeil, la respiration devient plus fréquente, et avec la respiration sort de force quelque chose de chaud et aigre. De là viennent des maladies, si des précautions ne sont pas prises. Il convient de se traiter dans ce cas comme dans le précédent ; mais les exercices seront plus considérables.

78. (*Troisième cas où les exercices l'emportent sur les ali-*

Mack. - ὑπὸ vulg. - τῆς om. θ. - πλεισμονῆς θ. - γίνονται E. — [16] ἀπὸ P'Q', Lind. - πυκνωτέρῳ Frob. - χρησάμενον HJKθ, Ald., Lind., Mack. - θερμοί τε καὶ ὀξεῖς J. — [17] καὶ om. EHJ, Ald. - νοῦσοι θ, Lind., Mack. - νόσοι vulg. - καὶ ἣν μή που GIJK, Ald. - τις pro που EGHIJK, Ald., Lind., Mack. - χρήσηται θ, Mack. — [18] σ. θ. - τουτέοισιν Lind., Mack. - ὥσπερ Eθ, Zwing. in marg., Lind. - τὸν πρότερον θεραπευθῆναι EHP'θ. - τὴν θεραπείην om. Ald. - θεραπείαν G. — [19] χρὴ om. EHθ. - τοῦτον χρῆσθαι θ. — [20] τοιῆδε EG (H, al. manu, erat prius τοιάδε) IK, Ald. - θερμαίνηται θ.

σωμάτων, ὅταν τὰ σιτία διαθερμαίνηται καὶ διαχέηται [1] ἀπὸ πρώτου ὕπνου, θερμαινομένης τῆς σαρκὸς ὑπό τε τῶν σιτίων διά [2] τε τὸν ὕπνον, ἀπόκρισις γίνεται ἀπὸ τῆς σαρκὸς πολλὴ ὑγρῆς ἐούσης· εἶτα τὴν μὲν τροφὴν ἡ σὰρξ οὐ δέχεται [3] πυκνὴ ἐοῦσα, τὸ δὲ ἀπὸ τῆς σαρκὸς ἀποκριθὲν ἐναντιούμενον τῇ τροφῇ καὶ βιαζόμενον ἔξω πνίγει τὸν ἄνθρωπον καὶ θερμαίνει, μέχρις ἂν ἐξεμέσῃ· ἔπειτα κουφότερος ἐγένετο· πόνος δὲ [4] οὐδεὶς ἐν τῷ σώματι φανερός· ἀχροίη δὲ ἔνεστι· προϊόντος δὲ τοῦ χρόνου πόνοι τε γίνονται καὶ νοῦσοι. Πάσχουσι [5] δὲ τούτοισι παραπλήσια καὶ ὁκόσοι ἀγύμναστοι ἐόντες, ἐξαπίνης πονήσαντες, σύντηξιν τῆς σαρκὸς βιαίαν καὶ πολλὴν ἐποίησαν. Χρὴ δὲ τοὺς τοιούτους ὧδε θεραπεύειν· ἀφελεῖν τῶν [6] σίτων τὸ τρίτον μέρος· τοῖσι δὲ [7] σίτοισι χρέεσθαι τοῖσι δριμέσι καὶ ξηροῖσι καὶ αὐστηροῖσι [8] καὶ εὐώδεσι καὶ οὐρητικοῖσι, τοῖσι δὲ δρόμοισι τοῖσι μὲν πλείστοισι καμπτοῖσιν ἐν ἱματίῳ, γυμνοῖσι δὲ τοῖσι διαύλοισι καὶ τοῖσι τροχοῖσι, τρίψεσι δὲ καὶ πάλῃ [9] ὀλίγῃ, ἀκροχειρισμοῖσιν, ἀκροχείρισις καὶ κωρυκομαχίη ξυμφορώτερον· τοῖσι δὲ περιπάτοισιν ἀπὸ τῶν γυμνασίων πολλοῖσι καὶ [10] τοῖσιν ὀρθρίοισι καὶ ἀπὸ δείπνου· φωνῆς δὲ πόνος [11] μάλα ἐπιτήδειος, κένωσιν γὰρ τοῦ ὑγροῦ ποιεύμενος ἀραιοῖ τὴν σάρκα· ξυμφέρει δὲ ἀνάριστον διάγειν· χρέεσθαι δὲ τοῖσι [12] τοιούτοισιν ἐν ἡμέρῃσι δέκα· εἶτα προσθέσθαι τὸ ἥμισυ τοῦ σίτου τοῦ ἀφαιρεθέντος ἐς ἡμέρας ἕξ, καὶ ἔμετον ποιήσασθαι, [13] ἐκ

[1] Καὶ ἀπὸ vulg. – καὶ om. EGHIJK. — [2] τε θ. – τε om. vulg. – γίνεται, al. manu νη H. – σαρκὸς πολλὴ (πουλλὴ Ald., Frob., Mack) ὑγρασίη (πολλῆς ὑγρασίης K′) vulg. – σαρκὸς πολλῆς ὑγρῆς ἐούσης θ. – Je prends le texte de θ, en gardant πολλὴ de vulg. — [3] πυκνῆς οὖσα θ. – ὑπεναντιοῦται ενον (sic) pro ἐναντιούμενον θ. – εἴσω pro ἔξω θ. – μέχρι sine ἂν (H, al. manu μέχρις ἂν) θ. – ἔπειτα δὲ K′, Mack. — [4] οὐδὲ εἷς IJK. – ἀχροίη EK, Lind. – ἀχροιὴ Mack. – ἀχροία vulg. – ἀχροιᾶ, al. manu ἀχροίη H. – δ' θ. – αὐτῷ ἔνεστι vulg. – αὐτῷ om. EHK. – Post ἔνεστι addunt ἐν τῷ σώματι E (H, al. manu). – ἀχροίη δέ ἐστι ἐν τῷ σώματι Zwing. in marg. – νοῦσοι EHθ, Lind., Mack. – νόσοι vulg. — [5] διὰ pro δὲ GJ. – ὄντες EHIJK. – σύντηξι (sic) θ. – βιαίαν καὶ om. θ. – βιαίαν om., restit. al. manu H. – καὶ βιαίαν καὶ πολλὴν EQ′. – πουλλὴν G, Ald., Frob. — [6] σιτίων K. — [7] σιτίοισι EHK, Lind., Mack. – χρῆσθαι θ. — [8] καὶ om. θ. – δρόμοισι EGHIJKθ, Ald., Mack. – δρόμοις vulg. – ἐν ἱματίοισι, γυμνὸς δὲ καὶ τοῖσι θ. — [9] απαλη (sic) pro ὀλίγῃ θ. – ἀκροχείρηξι (ἀκροχείριξις, al. manu ἀκροχείρησις H; ἀκροχείρησις EGIK; ἀκροχείρισις FJ; ἀκροχείρηξις Ald.; ἀκρ. om. θ) πλὴν (καὶ pro πλὴν EHQ′θ) κωρυκομαχίη (κορυκομαχίης (sic) L) ξυμφερώτερον (ξυμφορώτερον EH; συμφερώτερον IJK; συμφορώτερον θ) vulg. – ἀκροχείριξις γὰρ ἢ κωρυκομαχίη ξυμφορώτερον

ments. Il est caractérisé par des vomissements spontanés qui ne produisent qu'un soulagement momentané.) Quelques-uns présentent ceci : dans les corps à chair compacte, quand les aliments s'échauffent et s'épandent par l'effet du premier sommeil, la chair s'échauffant et par les aliments et par le sommeil, il se fait, de la chair qui est humide, une abondante séparation ; puis, la chair, vu sa densité, ne reçoit pas la nourriture ; et l'humeur séparée de la chair contrecarre la nourriture, et, poussée violemment au dehors, étouffe l'homme et l'échauffe, jusqu'à ce qu'elle ait été vomie ; alors on est plus à l'aise. Aucune souffrance n'est manifeste dans le corps ; mais il y a mauvais teint ; avec le temps il survient souffrance et maladie. Des symptômes analogues se montrent chez ceux qui, étant inexercés et se livrant soudainement à un exercice, éprouvent une fonte violente et abondante de la chair. Il faut traiter ainsi : retrancher le tiers des aliments, user d'aliments âcres, secs, astringents, aromatiques, diurétiques; beaucoup de courses recourbées en habit ; habit bas, les courses diaules (double stade), les courses aux cerceaux, les frictions, un peu de lutte, la lutte au poignet (la lutte au poignet et la corycomachie (*voy. p.* 580, *note* 12) valent mieux) ; beaucoup de promenades après les exercices, et le matin et après dîner. L'exercice de la voix est très-utile; car, provoquant l'évacuation de l'humide, il dilate la chair. Il convient aussi de supprimer le déjeuner. On suivra ce régime pendant dix jours ; après quoi on prendra pendant six jours la moitié de l'aliment retranché et l'on vomira. Après le vo-

P' (Lind., ξυμφερώτερον), Mack. – ἀκροχείρηξι e margine in contextum videtur temere irrepsisse, dit Zwing. dans ses notes. – πουλλοῖσι G, Ald., Frob., Zwing., Mack. — [10] τοῖσι δι' ὄρθρου (ὄρθροισι EH ; ὀρθρίοισι θ, Lind., Mack) καὶ ἀπὸ δείπνου δὲ ὁ τῆς (ὁ τῆς om., restit. al. manu H) φωνῆς πόνος, (δείπνου· φωνῆς δὲ πόνος θ, Mack; δείπνου· ὁ δὲ τῆς φωνῆς πόνος Lind.) vulg. — [11] μάλα om. (H, al. manu μάλιστα) θ, Mack. – ἐπιτήδειον θ, Mack. – χένωσι (sic) θ. – ποιεύμενος Εθ, Lind. – ποιούμενος vulg. – συμφέρει θ. – χρῆσθαι θ. — [12] τοιούτοισιν θ, Mack. – σιτίοισιν pro τοι. vulg. – τοῦ σίτου θ, Mack. – τοῦ σίτου om. vulg. – εἰς IJK. — [13] ἐκ δὲ τοῦ θ, Mack. – ἑκάστου pro ἐκ δὲ τοῦ vulg. (ἑκάστου δὲ Lind.). – εἰς H. – τέσσερας τὸν σῖτον θ. – δ' EH.

δὲ τοῦ ἐμέτου προσάγειν ἐς ἡμέρας τέσσαρας τὸ σιτίον· ὅταν δὲ ἡμέραι δέκα γένωνται ἀπὸ τοῦ ἐμέτου, κομισάσθω [1] τὸ ἀφαιρεθὲν σιτίον ἅπαν· τοῖσι δὲ πόνοισι καὶ τοῖσι περιπάτοισι προσεχέτω, καὶ ὑγιὴς ἔσται. Ἡ δὲ τοιαύτη φύσις πόνου πλείονος δέεται ἢ σίτου.

79. [2] Ἑτέρα πλησμονή· πάσχουσι δέ τινες καὶ τοιάδε· διαχωρέει τὸ σιτίον αὐτέοισιν ὑγρὸν ἄπεπτον οἷον ἐκ λειεντερίης, καὶ πόνον οὐδένα παρέχει· πάσχουσι δὲ [3] τοῦτο μάλιστα αἱ κοιλίαι ὅσαι ὑγραὶ καὶ ψυχραί εἰσιν· διὰ μὲν τὴν ψυχρότητα οὐ ξυνεψεῖ, διὰ δὲ [4] τὴν ὑγρότητα διαχωρέει· τὸ οὖν σῶμα τρύχεται τροφὴν οὐ λαμβάνον τὴν προσήκουσαν, αἵ τε κοιλίαι διαφθείρονται, ἐς νούσους τε ἐμπίπτουσιν. Ἀλλὰ χρὴ προμηθέεσθαι· ξυμφέρει δὲ τούτῳ τῶν μὲν [5] σιτίων ἀφελεῖν τὸ τρίτον μέρος· ἔστω δὲ τὰ σιτία ἄρτοι ἄζυμοι συγκομιστοὶ, [6] κλιβανῖται, ἢ ἐγκρυφίαι, θερμοὶ ἐς οἶνον αὐστηρὸν ἐμβαπτόμενοι, καὶ τῶν ἰχθύων τὰ νωτιαῖα καὶ οὐραῖα, τὰ δὲ κεφάλαια καὶ ὑπογάστρια ἐᾶν ὡς ὑγρότερα· καὶ τοὺς μὲν ἑφθοὺς ἐν ἅλμῃ ἐσθίειν, τοὺς δὲ ὀπτοὺς ἐν ὄξει· [7] καὶ τοῖσι κρέασι τεταριχευμένοισιν ἐν ἁλσὶ καὶ ὄξει· καὶ τοῖσι κυνείοισιν ὀπτοῖσι· [8] καὶ φάσσης καὶ τῶν λοιπῶν τοιούτων ὀρνίθων, ὀπτοῖσι καὶ ἑφθοῖσι· λαχάνοισι δὲ ὡς ἥκιστα· οἴνῳ [9] δὲ μέλανι ἀκρητεστέρῳ αὐστηρῷ· καὶ τοῖσι περιπάτοισιν ἀπό τε τοῦ δείπνου πολλοῖσι [10] καὶ τοῖσιν ὀρθρίοισι, [11] καὶ ἐκ τοῦ περιπάτου κοιμᾶσθαι· δρόμοισι δὲ καμπτοῖσιν ἐκ προσαγωγῆς· ἔστω δὲ καὶ τρίψις πολλή· καὶ πάλη [12] βραχείη καὶ ἐν τῷ ἐλαίῳ καὶ ἐν τῇ κόνει, ὅκως διαθερμαινομένη ἡ σὰρξ ἀποξηραίνηταί τε καὶ τὸ ὑγρὸν ἐκ τῆς

[1] Τὸ σιτίον τὸ ἀφαιρεθὲν ἅπαν EHIK. – ἀπὸ τοῦ σίτου τὸ ἀφαιρεθὲν ἅπαν θ. – δεῖται θ. – δέχεται pro δέεται G. — [2] ἑτ. πλ. om. EHIK, Lind. – D'après Mack ces mots manquent dans θ; ma collation n'en dit rien. – πάσχουσι δέ τινες καὶ τοιαῦτα· διαχωρέει αὐτοῖς τὸ σιτίον ὑγρὸν, ἄπεπτον, οὐ διὰ νόσημα, οἷον λειεντερίαν, οὐδὲ πόνον οὐδένα παρέχει Gal. in cit. Comm. ad Aph. VI, 1. – Mack dit que θ a τοιαῦτα; ma collation porte τοιᾶδε (sic). – αὐτέοισι (αὐτοῖσι θ) τὸ σιτίον EHIJKθ. – οὐ διὰ νόσημα οἷον λιεντερίην pro οἷον ἐκ λειεντερίης θ. – ἐκ om., restit. al. manu H. – λειεντερίης EGHK, Lind. – λιεντερίης vulg. – οὐδὲ pro καὶ θ. — [3] μάλιστα τοῦτο EHIK. – ψυχραὶ καὶ ὑγραὶ θ. – μὲν οὖν θ. – μὲν [γὰρ] Lind. – τὴν om. EHθ. – συνεψεῖ θ. – ξυνέψει Lind. – ξυνεψοῖ vulg. – συνεψοῖ Mack. — [4] τὴν om. EHJKθ, Ald. – τρύχεται θ, Lind., Mack. – τρύχει vulg. – νούσους EHθ, Lind. – νόσους vulg. — [5] σίτων θ. – σῖτα θ. – συγκομιστοὶ ἄζυμοι θ. — [6] κλιβανῖται G, Ald., Frob., Zwing., Lind., Mack. – κλιβανειται (sic) θ. – ἐγκρυφίας E. – εἰς E. – ἐμβάπτων, al. manu ἐμβαπτόμενοι H. – ἐμβάπτοντα θ. – κεφάλεα K. – ἐᾶν ὡς om. Hθ. – ἐσθίειν om. (H, restit. al. manu) θ. — [7] καὶ.... ὄξει om. K. – αλει (sic)

missement on accroîtra progressivement l'aliment pendant quatre jours. Au bout de dix jours à compter du vomissement, on mangera tout l'aliment retranché ; on se livrera aux exercices et aux promenades, et l'on recouvrera la santé. Une telle nature a besoin de plus d'exercice que d'aliment.

79. (*Quatrième cas où les exercices l'emportent sur les aliments. Il est caractérisé par des selles où les aliments passent liquides et non digérés.*) Autre plénitude : quelques-uns offrent ces symptômes : l'aliment passe humide et non digéré comme dans la lienterie, sans causer aucune souffrance. Ce sont surtout les ventres humides et froids qui éprouvent cet accident ; en effet, étant froids, ils ne digèrent pas ; étant humides, ils évacuent. Le corps pâtit, ne prenant pas la nourriture qu'il lui faut ; le ventre se corrompt, et des maladies se déclarent. Mais il faut se précautionner. On retranchera le tiers des aliments. Les aliments seront des pains azymes, de farine non blutée, de tourtière ou cuits sous la cendre, chauds et trempés dans du vin astringent, les parties du dos et de la queue des poissons ; on s'abstiendra des têtes et des ventres comme étant plus humides. On mangera les uns bouillis dans la saumure, les autres grillés et dans le vinaigre. On usera de viandes conservées dans le sel et dans le vinaigre ; de viande de chien rôtie ; de pigeons et d'oiseaux de cette espèce rôtis et bouillis ; d'herbages, le moins qu'il se pourra ; d'un vin noir, astringent et pur. On se promènera et après le dîner et le matin. On dormira après la promenade. On usera progressivement des courses recourbées. On se frottera aussi beaucoup. On luttera,

pro ἁλσὶ θ. – κυνίοισιν HIJ, Ald., Frob., Zwing. – κενίοισιν (sic) G. – ἑφθοῖσι pro ὀπτοῖσι θ. — [8] καὶ ἀπὸ vulg. – ἀπὸ om. Hθ, Lind. – φάσσης θ. – φάττης vulg. – λοιπῶν om. (H, restit. al. manu post τοιούτων) θ. – τοιούτων λοιπῶν EIK. – D'après Mack θ a τοιουτέων ; ma collation a τοιούτων. – ἑφθοῖσι καὶ ὀπτοῖσι EHθ. — [9] δὲ θ. – δὲ om. vulg. – ἀκρητεστέρῳ αὐστηρῷ θ. – ἀκρ. αὐστ. om. vulg. – ἀπὸ δὲ (δὲ om. Lind.) τοῦ vulg. – ἀπό τε τοῦ θ. – Post δείπνου addunt κοιμᾶσθαι EHI, Zwing. in marg. – πολλοῖσι θ. – πολλ. om. vulg. — [10] καὶ.... περιπάτου om. K. — [11] καὶ θ, Mack. – καὶ om. vulg. (ἐκ τοῦ περιπάτου δὲ Lind.). – κοιμάσθω θ. — [12] βραχείῃ θ. – βραδείῃ vulg. – ὅπως H. – κοιλίας H.

κοιλίης ἀντισπᾷ· [1]ἀλείφεσθαι δὲ ξυμφέρει μᾶλλον ἢ λούεσθαι· ἀνάριστος δὲ διαγέτω· ὅταν δὲ γένωνται ἡμέραι ἑπτὰ, προσθέσθω τὸ ἥμισυ τοῦ [2]σίτου τοῦ ἀφαιρεθέντος, καὶ ἔμετον ποιησάσθω, καὶ προσαγέτω ἐς τέσσαρας ἡμέρας τὸν σῖτον· τῇ δὲ ἄλλῃ ἑβδόμῃ κομισάσθω ἅπαν [3]τὸ σιτίον· καὶ ἔμετον πάλιν ποιησάμενος προσαγέτω κατὰ τωὐτό.

80. Ἄλλοισι δέ τισι [4]γίνεται τοιάδε· τὸ διαχώρημα ἄσηπτον διαχωρέει, καὶ τὸ σῶμα τρύχεται τῶν [5]σίτων οὐκ ἐπαυρισκόμενον· οὗτοι δὲ προϊόντος τοῦ χρόνου ἐμπίπτουσιν ἐς τὰς νούσους· τούτοισιν αἱ κοιλίαι ψυχραὶ καὶ ξηραί· ὁκόταν [6]γοῦν μήτε σίτοισι προσήκουσι χρέωνται μήτε γυμνασίοισι, πάσχουσι ταῦτα. Ξυμφέρει δὲ τῷ τοιούτῳ ἄρτοισί τε καθαροῖσιν ἰπνίτῃσι χρέεσθαι, καὶ τοῖσιν ἰχθύσιν ἑφθοῖσιν [7]ἐν ὑποτρίμμασι, καὶ κρέασιν ἑφθοῖσιν ὑείοισι, [8]καὶ τοῖσιν ἀκροκωλίοισι διέφθοισι, καὶ τοῖσι [9]πίοσιν ὀπτοῖσι, καὶ τῶν δριμέων καὶ τῶν ἁλυκῶν τοῖσιν ὑγραίνουσι, καὶ τοῖσιν ἁλμυροῖσιν· οἴνοισι δὲ μέλασι μαλακοῖσι· καὶ τῶν βοτρύων καὶ τῶν σύκων [10]ἐμφορεῖσθαι ἔν γε τοῖσι σιτίοισι· χρὴ δὲ καὶ ἐναριστῆν μικρόν· τοῖσι δὲ γυμνασίοισι πλείοσι [11]χρέεσθαι, δρόμοισι καμπτοῖσιν ἐκ προσαγωγῆς, ὑστάτοισι [12]δὲ τροχοῖσι, καὶ μετὰ τὸν δρόμον πάλῃ σὺν ἐλαίῳ· περιπάτοισι δὲ μὴ πολλοῖσιν ἀπὸ τῶν γυμνασίων· [13]ἀπὸ δείπνου δὲ ὅσον ἐξαναστῆναι· ὄρθρου δὲ πλείοσι περιπάτοισι χρῆσθαι· λουέσθω δὲ θερμῷ· χρεέσθω δὲ [14]καὶ χρίσμασιν· ὕπνον [15]δὲ

[1] Ἀλίφεσθαι θ. – συμφ. Kθ. — [2] σιτίου Mack. – τοῦ (τοῦ om. H) ἀφαιρεθέντος καὶ ἔμετον ποιησάσθω τὸ ἥμισυ τοῦ σίτου Hθ. – τοῦ ἀφ. καὶ ἔ. ποι. om. vulg. – J'ai pris la leçon des deux mss. H et θ, laissant de côté τὸ ἥμισυ τοῦ σίτου, qui est une répétition due à l'inadvertance des copistes. – προσαγέτω (H, al. manu προσαγέσθω) θ. – προσαγέσθω vulg. – ἐς Eθ, Lind. – εἰς vulg. – Ante τέσσ. addunt τὰς E (H, al. manu) Q'. – τέσσερας θ. – τὸ σιτίον θ. – τὸ σίτον K. – Post σῖτον addit καὶ ἐμεέτω P', Mack. — [3] τὸ σιτίον om. θ. – προσαγέτω (H, al. manu προσαγέσθω) θ. – προσαγέσθω vulg. – ταῦτα vulg. – ταὐτὰ IK. – ταὐτὸ Lind. – τωὐτὸ EHQ'θ, Zwing. in marg. — [4] γίγνεται HIJK. — [5] σιτίων K. – ἐπαυρίσκεται sine οὐκ θ. – τὰς om. θ. – νούσους EHIθ, Lind., Mack. – νόσους vulg. – τουτέοισιν Lind., Mack. — [6] οὖν EHθ. – σιτίοισι EK, Lind., Mack. – συμφέρει δὴ τούτω ἄρτοισι καθαροῖσιν ιπνιταισι (sic) χρῆσθαι θ. – τε om. GIJK. – ἰπνίτοισι vulg. – ἰπνίτῃσι HIK. – Mack dit que θ a δὲ, et non pas δή. — [7] ἐν (ξὺν Lind.; σὺν K', Mack) θ. – ἐν om. vulg. – ὑοῖσι GHIJ. — [8] καὶ τοῖσι μὲν ἄκροις διεφθοῖς, τοῖσι δὲ θ. — [9] πίοσιν θ. – πλείστοισιν vulg. – ὀπτῆσι I. – ἑφθοῖσι pro ὀπτοῖσι θ. – γλυκέων pro ἁλυκῶν Zwing. in marg., Lind., Mack. – Mack dit que θ a γλυκέων; ma collation n'en dit

mais peu de temps, à l'huile et à la poussière, afin que la chair échauffée se dessèche et attire par révulsion l'humide hors du ventre. Il convient de s'oindre plus que de se baigner. On supprimera le déjeuner. Sept jours s'étant écoulés, on reprendra la moitié de l'aliment retranché, on vomira, après quoi on augmentera progressivement la nourriture pendant quatre jours. Au bout d'un autre intervalle de sept jours on reprendra tout l'aliment retranché, on vomira derechef, et l'on ira par progression de la même manière.

80. (*Cinquième cas où les exercices l'emportent sur les aliments. Il est caractérisé par des selles qui ne sont pas corrompues.*) Chez quelques-uns surviennent ces symptômes-ci : les selles passent non corrompues, le corps pâtit ne tirant pas profit des aliments. Au bout d'un certain temps ces gens deviennent malades. Le ventre est, chez eux, froid et sec ; quand donc ils n'usent ni des aliments ni des exercices convenables, ils sont pris de ces accidents. Dans ce cas on usera de pains de farine blutée et cuits au four, de poissons grillés à la sauce, de viandes de porc bouillies, d'extrémités de porc bien bouillies, de viandes grasses rôties, des substances humectantes parmi celles qui sont âcres et salées, et de saumures. On boira des vins noirs mous. On se gorgera de raisins et de figues, du moins dans le repas. On fera un petit déjeuner. Exercices multipliés, courses recourbées par progression ; en dernier lieu courses au cerceau; après les courses, lutte huilée ; promenades peu considérables, après les exercices; un tour de pro-

rien. —[10] ἐμφ. om. (H, restit. al. manu) θ. – ἔν τε (τε om. θ; γε E, H al. manu, IJK) vulg. – ἀριστῆν E. – ἐναρισίην (sic) θ. —[11] χρῆσθαι θ. – δρόμοις EH. – Ante δρ. addunt καὶ Lind., Mack. —[12] τε pro δὲ θ. – Mack dit que θ a δέ. – πάλη τε (δὲ θ) μετὰ τὸν δρόμον ἐν τῷ (τῷ om. θ) ἐλαίῳ EHθ. – πουλλοῖσιν G, Ald., Zwing. —[13] ἀπὸ δὲ ὕπνου (δείπνου Zwing. in marg., Lind.) vulg. – ἀπὸ δείπνου δ' E (H, δὲ) θ, Mack. – ὄρθρου EHθ. – ὄρθροισι vulg. – πλεῖον FGIJK. – περιπάτοισι χρῆσθαι om. FGIJK. – θερμῷ Hθ, Mack. – θερμὸν vulg. —[14] Ante καὶ addit πόνοισι vulg. – πόνοισι om. θ, Mack. – χρίμασιν θ. —[15] τε pro δὲ EHθ, Mack. – μάλα κινεέτω vulg. – μαλακινεέτω Ald., Zwing. – μαλακευνείτω θ, Mack. – μαλακευνεέτω Zwing. in marg., Lind. – ἀφροδισιᾶσαι Ald. – ἀφροδιασαι (sic) θ. – σιτίων K.

πλείονα διδότω καὶ μαλακευνεέτω· χρὴ δὲ καὶ ἀφροδισιάσαι τι· τῶν δὲ σίτων ἀφελεῖν [1] τὸ τέταρτον μέρος ἐν ἡμέρῃσι δέκα, καὶ προσάγειν αὐτὸν πρὸς τὰ σιτία.

81. Εἰσὶ δέ τινες [2] οἷσι τὸ διαχώρημα ὑγρὸν διαχωρέει καὶ σεσηπὸς, τοῖσιν ἄλλως ὑγιαίνουσι καὶ γυμναζομένοισι, καὶ πόνον οὐ παρέχει· οἱ δέ τινες ἀποκλείονται τῶν προσηκόντων· προϊόντος δὲ τοῦ χρόνου, [3] τὰς σάρκας ἐπισπᾶται τῇ θερμασίῃ ἡ κοιλίη, καὶ πόνον δὴ παρέχει, καὶ τῶν σιτίων ἀποκλείονται, ἥ τε κοιλίη ἐξελκοῦται, στῆσαι δὲ χαλεπὸν ἤδη γίνεται αὐτήν. Ἀλλὰ χρὴ πρότερον προμηθέεσθαι γνόντα τὴν κοιλίην θερμὴν καὶ ὑγρὴν παρὰ τὸ προσῆκον, πόνων τε ὑπερβολὴν [4] ἀξυμφόρων γεγενημένην. Τῇ οὖν διαίτῃ χρὴ ψῦξαι καὶ ξηρῆναι, καὶ πρῶτον [5] μὲν τὰ γυμνάσια τὰ ἡμίσεα ἀφελεῖν, καὶ τῶν σιτίων τὸ τρίτον μέρος· χρήσθω δὲ μάζῃ προφυρητῇ τριπτῇ, καὶ τοῖσιν ἰχθύσι τοῖσι ξηροτάτοισιν ἑφθοῖσι [6] καὶ μήτε λιπαροῖσι μήτε ἁλμυροῖσι· χρήσθω δὲ [7] καὶ ὀπτοῖσι· κρέασι [8] δὲ τοῖσιν ὀρνιθίοισιν, ἑφθοῖσι μὲν φάσσης, περιστερῆς, [9] ὀπτοῖσι δὲ περδίκων καὶ ἀλεκτορίδων ἀνηδύντοισι, [10] λαγώοισι δὲ ἑφθοῖσιν ἐν ὕδατι, καὶ τοῖσιν ἀγρίοισιν ἅπασι· λαχάνοισι [11] δὲ ὅσα ψυκτικὰ, οἷον τοῖσι [12] τεύτλοισι καθέφθοισιν ὀξηροῖσι· οἴνῳ δὲ μέλανι αὐστηρῷ· γυμνασίοισι [13] δὲ τροχοῖσιν ὀξέσιν, ἀλλὰ τρίψις μὴ πολλὴ προσέστω, ἀλλ' ὀλίγη, μηδὲ πάλη· ἀκροχείρησις καὶ χειρονομίη καὶ κωρυκο-

[1] Τὸ τρίτον μέρος ἐν ἡμέρῃσι δὲ δέκα δύο προσάγειν θ. — [2] οἷς θ. – καὶ σεσηπὸς διαχωρέει EHθ. – τοῖσι δὲ (δ' EH) ἄλλως vulg. – τοῖσιν ἄλλως θ. – καὶ πόνον οὐ παρέχει EHθ. – οὐδὲ πόνον παρέχει sine καὶ vulg. — [3] καὶ τὰς θ. – τῆς σαρκὸς K. – τὴν θερμασίην (H, al. manu τῇ θερμασίῃ) K. – πόνον τε sine καὶ et δὴ EHθ. – τε pro δὴ Q', Lind. – τῶν τε σίτων θ. — [4] ἀσυμφόρων θ. – ἐγγενομένων EQ'θ, Zwing. in marg., Lind. – γεγενημένων FGIJK. – χρὴ om., restit. al. manu H. – δεῖ θ. – ξηρῆναι EHKθ, Mack. – ξηρᾶναι vulg. — [5] Post μὲν addunt χρὴ EHθ. – τὰ ἡμίσεια (ἡμίσεα Mack) γυμνάσια vulg. – τὰ γυμνάσια τὰ ἡμίσεα θ. – τῶν τε σίτων θ. – χρῆσθαι δὲ μάζῃσι πορφυρητησι (sic) τριπτησι (sic) θ. – χρεέσθω Lind., Mack. – προφυρατῇ HI. – πορφυρῇ τῇ E. – προφυρᾶ τῇ J. – τρυπτῇ Zwing. in marg. — [6] καὶ om. EHθ, Lind., Mack. – χρεέσθω Lind. — [7] καὶ EGHIθ, Ald., Mack. – καὶ om. vulg. — [8] δὲ θ. – δὲ om. vulg. – Mack dit que θ n'a pas ce δὲ, qui importe cependant au sens. – ὀρνιθείοισιν EIK. – φάσσης HIJKθ. – φάττης vulg. – D'après Mack θ a φάττης. – καὶ] περιστερῆς Lind. — [9] ὀπτοῖσι δὲ om. EHθ. – περδίκων δὲ (H, al. manu, erat prius τε) θ. – ἀλεκτορίδων θ. – ἀλεκτρυόνων vulg. – Post ἀλ. addunt ὀπτοῖσιν EH. – ηδυντοισι (sic) θ. — [10] λαγίοισιν sine δὲ θ. – ἅπασι om. (H, restit. al. manu) θ. — [11] δὲ om. (H, restit. al. manu) θ. – Mack dit que θ a

menade seulement après le dîner ; le matin, promenades plus considérables ; bains chauds. On fera aussi des onctions. On dormira longtemps et sur un lit mollet. Il faut encore user un peu du coït. Des aliments, on retranchera le quart en dix jours, après quoi on les augmentera progressivement.

81. (*Sixième cas où les exercices l'emportent sur les aliments. Il est caractérisé par des selles liquides et corrompues.*) Il est des gens qui ont des selles liquides et corrompues ; du reste ils sont bien portants, s'exercent et n'éprouvent aucune souffrance. D'autres au contraire sont dans l'impossibilité de vaquer à leurs affaires. Mais, au bout d'un certain temps, le ventre attire les chairs par la chaleur ; déjà de la souffrance se fait sentir, l'appétit se perd, le ventre s'ulcère, et dès lors il est difficile d'arrêter le flux. Il faut se précautionner, sachant que le ventre est chaud et humide plus qu'il ne convient, et qu'il y a eu excès d'exercices nuisibles. Donc, par le régime, on refroidira et séchera. D'abord on retranchera la moitié des exercices et le tiers des aliments. On mangera de la polenta pétrie broyée, et les poissons les plus secs bouillis ; ils ne seront ni gras ni dans la saumure ; on en mangera aussi de grillés. Parmi les oiseaux, on mangera bouillis les ramiers et les pigeons ; rôties, les perdrix et les poules, sans épices ; bouillis dans l'eau, les lièvres et tous les animaux sauvages. Parmi les herbages, on mangera ceux qui sont rafraîchissants, par exemple la bette bien bouillie et vinaigrée. Vin noir astringent. Exercices gymnastiques ; des courses au cerceau, rapides ; des frictions, mais peu, non beaucoup. Point de lutte. La lutte au poignet, la chironomie, la corycomachie, et la lutte sur la poussière (*voy. p.* 580, *notes* 11 et 12) convien-

δέ ; ce qui change notablement le sens ; car, sans δὲ, comme porte ma collation, la phrase signifie : usez, parmi les légumes sauvages, de ceux qui sont rafraîchissants. – οἷον om. (H, restit. al. manu) θ. — [12] σεύτλοισι EH. – ὀξυροῖσι EGHIJK, Ald., Frob., Zwing., Lind., Mack. — [13] τε pro δὲ θ. – ἀλλὰ om. θ. – τρίψις δὲ sine ἀλλὰ EH, Lind. – μὴ om., restit. al. manu H. – προσαγέσθω vulg. – προσέστω θ. – ἀλλ' ὀλίγη om. FGIJK. – ἀκροχειρισμὸς δὲ θ. – ἐπιτηδείη θ.

μαχίη καὶ ἀλίνδησις ἐπιτήδεια, ἀλλὰ μὴ [1]πολλή· τοῖσι δὲ περιπάτοισι καὶ ἀπὸ τοῦ γυμνασίου χρήσθω πρὸς τὸν πόνον ἱκανοῖσι, καὶ ἀπὸ [2]τοῦ δείπνου πρὸς τὰ σιτία πλείστοισι, καὶ πρωῒ ξυμμέτρως πρὸς τὴν ἕξιν· λουέσθω δὲ χλιερῷ καὶ ἀτρεμεέτω· οὕτω δὲ διαιτηθεὶς ἡμέρας δέκα [3]προσθέσθω τοῦ τε σιτίου τὸ ἥμισυ καὶ τῶν πόνων τὸ τρίτον μέρος· καὶ ἔμετον ποιησάσθω ἀπὸ [4]τῶν ξηρῶν καὶ στρυφνῶν, καὶ μὴ διατριβέτω ἐν τῷ σίτῳ, [5]ἀλλὰ τὴν ταχίστην ἐμείτω· ἐκ δὲ τοῦ ἐμέτου προσαγέτω ἐς ἡμέρας τέσσαρας τὸ σιτίον καὶ τὸ ποτὸν καὶ τὸν πόνον μερίζων· ὅταν δὲ [6]ἡ δεκὰς τῶν ἡμερέων γένηται, προσθέσθω τὸν σῖτον [7]τὸν λοιπὸν καὶ τῶν οἴνων τὸ πότιμον, πλὴν τῶν πόνων ἐνδεέστερον· καὶ ἔμετον ποιησάμενος προσαγέτω, καθάπερ γέγραπται· μονοσιτέειν δὲ τοῦτον τὸν χρόνον ξυμφέρει μέχρις ἂν καταστῇ.

82. Ἄλλοισι δέ τισι ξηρόν [8]τι καὶ συγκεκαυμένον τὸ διαχώρημα γίνεται, καὶ τὸ στόμα ξηρὸν, προϊόντος δὲ τοῦ χρόνου καὶ πικρὸν [9]γίνεται, καὶ ἡ κοιλίη ἵσταται καὶ [10]ἡ οὔρησις· ὅταν γὰρ μὴ ἔχῃ τὸ ἔντερον ὑγρασίην, περὶ τὸν ἀπόπατον περιοιδῆσαν ἀποφράσσει τὰς διεξόδους, ὀδύνην τε παρέχει, καὶ θέρμη λαμβάνει, καὶ ὅ τι ἂν πίῃ ἢ φάγῃ ἐξεμέει· [11]τελευτῶν δὲ καὶ κόπρον ἐμέει· οὗτος οὐ βιώσιμος, ὅταν ἐς τοῦτο ἔλθῃ. Ἀλλὰ χρὴ πρότερον προμηθέεσθαι γινώσκοντα ὅτι [12]ξηρασίῃ θερμῇ κρατέεται ὥνθρωπος. Διαιτῆσθαι οὖν χρὴ αὐτὸν τῇ τε μάζῃ προφυρητῇ ῥαντῇ καὶ ἄρτῳ σιτανίων πυρῶν τῷ [13]τε χυλῷ

[1]Πολλῇ H. – Post πολλὴ addit καὶ μετὰ πλησμονὴν in marg. al. manu H. – κατὰ πλησμονὴν pro πολλὴ FGIJK. – τοῖ (sic) pro τοῖσι K. – ἱκανοῖσι κατὰ (πρὸς Lind.) τὸν πόνον vulg. – πρὸς τὸν πόνον ἱκανοῖσι EHθ. — [2]τοῦ om. θ. – πλείοσι κατὰ τὰ σιτία vulg. – πρὸς τὰ σιτία πλείοσι EH (θ, πλείστοισι). – συμμ. IJK. – πρὸς τὴν ἕξιν συμμ. EHθ. – λούσθω θ. – χλιαρῷ K. – χλιηρῷ J. – ἄτρεμας (H, al. manu ἀτρεμεέτω) θ. – οὕτως θ. – δὲ θ. – δὲ om. vulg. — [3]προσθέσθαι K. – σίτου EIJKQ'θ. — [4]τῶν θ. – σιτίων pro τῶν vulg. – μὴ διάτριβε ἐν τῷ σιτίῳ θ. — [5]ἀλλ' ἐμείτω τὴν ταχίστην EH (θ, ἀλλά). – ἐμεέτω Lind., Mack. – προσαγέτω EHθ. – προσαγέσθω vulg. – εἰς vulg. – ἐς Eθ, Lind. – τὸν σίτον θ. – καὶ τὸ ποτὸν θ. – καὶ τὸ ποτὸν om. vulg. — [6]ἡ om. (H, restit. al. manu) θ. – τῶν ἡμ. om. (H, restit. al. manu) θ. – ἡμερῶν EGJ. — [7]τὸν θ. – τὸν om. vulg. – σιτῶν (sic) pro οἴνων θ. – τὸ πότιμον om. θ. – πλὴν om., restit. al. manu H. – πρὸς pro πλὴν θ. – τὸν πόνον Jθ. – ἐνδεεστέρως θ. – μονοσιτεῖν θ. – συνφέρει θ. – μέχρι Hθ. – ἢν pro ἂν H. – καταστῇ θ. – καταστήσῃ vulg. — [8]τι om. (H, restit. al. manu) θ. – συγκεκαυμένον EHQ'θ, Zwing. in marg. – διακεκαυμένον vulg. – συνδιακεκαυμένον Codd. Regg. ap. Foes in notis. — [9]Post γίν. addit καὶ ξηρὸν θ. — [10]ἡ om. Hθ. – ὁκόταν θ.

nent, mais il ne faut pas s'y livrer beaucoup. On fera des promenades après les exercices, suffisantes pour la peine qu'on y a prise; après le dîner, aussi considérables que le réclameront les aliments; et le matin, proportionnées à la constitution. On se lavera à l'eau tiède et l'on se tiendra en repos. Après avoir vécu ainsi pendant dix jours, on reprendra la moitié des aliments et le tiers des exercices; et on fera le vomissement avec des aliments secs et astringents qu'on ne laissera pas longtemps dans l'estomac; mais on revomira le plus tôt possible. Après le vomissement, on accroîtra graduellement pendant quatre jours les aliments, les boissons et les exercices. Quand les dix jours seront accomplis, on reprendra le reste des aliments et le vin que l'on boit; seulement on fera un peu moins d'exercices que ce n'était l'habitude. On vomira, et l'on ira par progression comme cela est écrit. Pendant ce temps il importe de ne faire qu'un repas (*celui du soir*), jusqu'à ce que les symptômes aient disparu.

82. (*Septième cas où les exercices l'emportent sur les aliments. Il est caractérisé par des selles sèches et calcinées.*) Chez d'autres les selles sont sèches et calcinées; la bouche est sèche, et, au bout de quelque temps, elle devient amère; le ventre se resserre et l'urine s'arrête. En effet, quand l'intestin n'a pas d'humidité, il se tuméfie autour des matières, obstrue les voies et cause de la douleur; la chaleur fébrile survient; quoi qu'on boive ou qu'on mange, on le vomit; à la fin on vomit même des matières fécales. Quand les choses en sont là, il n'y a plus de chances de salut. Mais auparavant il faut y pourvoir, sachant que le sujet est vaincu par une humidité chaude. Il sera mis à l'usage de la polenta

– περιοιδήσαντι EGHIJK, Ald., Zwing. in marg. – περιοιδῆσάν τι Lind., Mack. – καὶ ὀδύνην τε Hθ. – θέρμην JK. – φάγῃ ἢ πίῃ θ. — [11] τελ. δὲ κ. κ. ἐμέει om. θ. – τελευτῶν (sic) EIJ. – καὶ om. J. – ὁκόταν θ. — [12] ξηρῇ τῇ θέρμῃ vulg. – ξηρῇ καὶ θέρμῃ legit cum Cornar. Foes in not. – ξηρὴ ἢ (ἡ Ald.) θέρμη EFGHIJK. – ξηρασίῃ θερμῇ θ, Mack. – ὤνθρωπος θ. – ὁ ἄνθρωπος vulg. – διαιτεῖσθαι J. – διαιτᾶσθαι θ. – προφυρῇ τῇ E. – πορφυρητῇ θ. – προφυρηθείσῃ K'. – ἄρτων EP'. — [13] τε EHθ. – τε om. vulg. – χυμῷ θ. – ἐζυμωμένων EH.

τῶν πιτύρων ἐζυμωμένῳ, λαχάνοισί [1]τε χρῆσθαι πλὴν τῶν δριμέων καὶ ξηρῶν καὶ ἑψανοῖσι· καὶ τῶν ἰχθύων τοῖσι κουφοτάτοισιν ἑφθοῖσι· καὶ τοῖσι κεφαλαίοισι τῶν [2]τε ἰχθύων καὶ καράϐων· μυσὶ καὶ ἐχίνοισι καὶ τοῖσι [3]καρκίνοισι, καὶ τῶν κογχυλίων τοῖσι χυλοῖσι καὶ αὐτοῖσι τοιούτοισιν ὑγροτάτοισι· κρέασι δὲ, [4]τοῖσιν ὑείοισιν ἀκροκωλίοισιν ἐμπροσθίοισιν ἑφθοῖσι [5]καὶ ἐρίφων καὶ ἀρνῶν καὶ σκυλάκων ἑφθοῖσιν· ἰχθύων [6]δὲ τοῖσι ποταμίοισι καὶ λιμναίοισιν ἑφθοῖσιν· οἴνῳ μαλακῷ, ὑδαρεῖ· [7]τοῖσι δὲ πόνοισι μὴ πολλοῖσι μηδὲ ταχέσιν, ἀλλ' ἡσύχοισι πᾶσι· τοῖσι δὲ περιπάτοισι πρωῒ μὲν χρήσθω, πρὸς τὴν ἕξιν ἱκανοῖσι καὶ ἀπὸ γυμνασίου [8]πρὸς τὸν πόνον ξυμμέτροισιν· ἀπὸ δείπνου δὲ μὴ περιπατείτω· λουτροῖσι δὲ χρήσθω καὶ ὕπνοισι [9]μαλακοῖσι καὶ ἀρίστῳ· ὕπνῳ τε μετὰ τὸ ἄριστον μὴ μακρῷ· ὀπώρῃ τε τῇ ὑγραινούσῃ μετὰ τῶν σιτίων χρήσθω· καὶ τοῖσιν ἐρεϐίνθοισι τοῖσι χλωροῖσι, [10]καὶ ξηροὺς δὲ βρέξας ἐν ὕδατι· ἀφελέσθω δὲ τῶν πόνων [11]καὶ οὗτος ἐξ ἀρχῆς τοὺς ἡμίσεας τῶν πρόσθεν· [12]καὶ ἔμετον ποιησάσθω ἀπὸ γλυκέων καὶ λιπαρῶν καὶ ἁλμυρῶν καὶ πλειόνων, [13]ἐνδιατριϐέτω δὲ ὡς πλεῖστον χρόνον ἐν τοῖσι σιτίοισι πρὸς τοὺς ἐμέτους· εἶτα [14]προσαγέτω τὸ σιτίον ἐς ἡμέρας τρεῖς, καὶ μὴ μενέτω ἀνάριστος· ὁκόταν δὲ ἡμέραι δέκα γένωνται, τῶν πόνων [15]προσαγέτω πλείονας· κἢν μὲν οὖν ἡ πλησμονὴ ἐνῇ ἀπὸ τοῦ σιτίου ἢ τῆς κοιλίης πλημμέλεια, ἐμεσάτω· ἢν δὲ μὴ, οὕτω θεραπευέσθω τὸν ἐπίλοιπον χρόνον.

83. [16]Γίνεται δὲ καὶ τοιάδε· φρῖκαι ἀπὸ τῶν περιπάτων ἐγγίνον-

[1] Δὲ pro τε EH. – ἑψανοῖσι H. – ἑψάνοισι vulg. – κεφαλέοισι K. — [2] τε om. EH. — [3] σαρκίνοισι GIJ. – κογχυλίων Kθ. – κογχύλων vulg. – χυμοῖσι θ. – Post αὐτοῖσι addit τοιούτοισιν θ (τοῖσιν EGHIJK, Ald.). – τοι. om. vulg. — [4] τοῖς GHJθ. – τοῖ (sic) I. – ὑοῖσι GHIJ, Ald. – Ante ἀκρ. addunt καὶ Lind., Mack. – ἐμπροσθίοις GHIJK. – ἐμπροσθείοις E. – ἐμπροσθιδίοισιν θ. — [5] καὶ.... ἑφθοῖσιν om. IJ. – καὶ.... λιμναίοισιν ἑφθοῖσιν om. FGK. – ἐρύφων Ald., Frob., Mack. — [6] δὲ EHIJθ, Ald., Lind. – δὴ vulg. — [7] τοῖσι.... πᾶσι om. G. – ταχέσιν IJKθ, Zwing. in marg., Lind., Mack. – παχέσι vulg. – ἡσυχίοισι IJKθ. – ἡσύχεσι Frob., Zwing. – ἅπασι θ. — [8] πρὸς τὸν πόνον θ. – πόνων (πόνου FG; πόνοις E) sine πρὸς τὸν vulg. – συμμ. EIJKθ. – περιπατεέτω Lind. – περιπαέτω (sic), al. manu πατεί E. – D'après Mack θ a περιπατεέτω; ma collation n'en dit rien. — [9] μαλακοῖς θ. – μὴ EHIKθ. – οὐ vulg. – λοιπῶν pro σιτίων θ. — [10] καὶ ξηροὺς δὲ θ. – καὶ ξηροῖσι sine δὲ vulg. – ἐν τῷ ὕδατι Mack. — [11] καὶ οὗτος ἐξ ἀρχῆς τοὺς ἡμίσεας τῶν πρόσθεν EHθ. – τῶν πρόσθεν τοὺς ἡμίσειας (ἡμίσεας IK, Zwing., Lind., Mack) καὶ οὗτος ἐξ ἀρχῆς vulg. — [12] καὶ om. Lind. – ποιησάσθω ἔμετον EH (θ, ποιησάτω). – ἀπὸ τῶν EHθ. –

pétrie et humectée; du pain de blé de printemps, fermenté avec l'eau de son; des herbages cuits excepté les herbes âcres et chaudes; des poissons les plus légers bouillis; des têtes de poissons et de crabes; des moules, des oursins et des écrevisses; des bouillons de coquillages et, parmi les coquillages, de ceux qui sont les plus humides; en fait de viandes, des extrémités antérieures du porc bouillies; du chevreau, de l'agneau et du petit chien bouillis; des poissons de rivière et d'étang bouillis; d'un vin mou, aqueux; d'exercices qui ne seront ni considérables ni rapides, mais doux; de promenades du matin, suffisantes pour la constitution, et, après le gymnase, proportionnées à la fatigue éprouvée. Il ne se proménera pas après le repas. Il se baignera, dormira mollement et déjeunera. Le sommeil après le déjeuner ne sera pas long. Il usera de fruits humectants avec les aliments; des pois chiches verds et secs; les secs, il les fera tremper dans l'eau. Il retranchera, lui aussi, dès le commencement la moitié de ses exercices antérieurs; il fera le vomissement avec des aliments doux, gras, salés et abondants; il les gardera le plus longtemps possible pour les revomir. Puis il augmentera graduellement la nourriture pendant trois jours. Il ne restera pas sans déjeuner. Quand dix jours auront passé, il reprendra progressivement la plupart des exercices. Si donc il y a ou plénitude à la suite des aliments ou paresse du côté du ventre, il vomira; sinon, il continuera le traitement le reste du temps.

83. (*Huitième cas où les exercices l'emportent sur les aliments. Il est caractérisé par des frissonnements à la suite des promenades du matin.*) On voit encore de tels symptômes : il survient des frissonnements à la suite des promenades du matin,

πιόνων pro πλειόνων θ. — [13] καὶ διατριβέτω δὲ τέως E. – δὲ om., restit. al. manu H. – ὡς θ. – τέως pro ὡς vulg. — [14] προσαγέσθω E. – ἐς Eθ, Lind. – εἰς (εἰς om. GIJK) vulg. – μηδ' (μηδὲ Lind.) ἀνάριστος ἔστω EHθ, Zwing. in marg., Lind. – ὅταν θ. — [15] προσαγέσθω πλείονας θ. – πλείονα vulg. – κἢν (ἢν EHθ) μὲν οὖν ἡ πλησμονὴ (πλεισμονῆ θ) ἐνῇ (ἐν ῇ EIJ) καὶ (καὶ om. EFGHIJθ, Ald.) ἀπὸ (addunt τοῦ EHIJKθ, Ald.) σιτίου (σίτου EHIJKθ) ἡ (ἢ EHK) τῆς κοιλίης πλημμέλεια (πλημμελια sic θ; πλημέλειαν I) vulg. — [16] γίνονται GI.

ται [1]τῶν τοῦ ὄρθρου, καὶ τὴν κεφαλὴν βαρύνεται τοσούτῳ ὁκόσῳ πλείονες οἱ περίπατοι τῆς ξυμμετρίης· [2]κενούμενον γὰρ τὸ σῶμα καὶ ἡ κεφαλὴ τοῦ ὑγροῦ φρίσσει καὶ βαρύνεται· προϊόντος δὲ τοῦ χρόνου ἐς πυρετὸν ἀφικνέεται φρικώδεα. Ἀλλ' οὐ χρὴ προΐεσθαι ἐς τοῦτο, [3]ἀλλ' ἐκθεραπεύεσθαι πρότερον ὧδε· ὅταν γένηται τάχιστα τῶν τεκμηρίων [4]τινὰ, χρισάμενον καὶ ἀνατριψάμενον ὀλίγα, τὸ ἄριστον ποιήσασθαι πλέον τοῦ εἰθισμένου, καὶ πιεῖν ἱκανὸν οἶνον μαλακὸν, εἶτα ὕπνῳ [5]χρήσασθαι ἀπὸ τοῦ ἀρίστου ἱκανῶς· ἐς τὴν ἑσπέρην [6]δὲ κούφοισι χρησάμενον γυμνασίοισι θερμῷ τε λουσάμενον, δειπνῆσαι τὸ εἰθισμένον· περιπάτοισι δὲ μὴ χρῆσθαι ἀπὸ δείπνου, διατρίβειν δὲ χρόνον· τῇ δὲ ὑστεραίῃ ἀφελέσθω [7]τῶν γυμνασίων πάντων καὶ τῶν περιπάτων τὸ τρίτον μέρος, τοῖσι δὲ σίτοισι χρησάσθω ὥσπερ εἴθιστο· λουέσθω δὲ χλιαρῷ, καὶ τῷ ἐλαίῳ ἀλειφέσθω ἐν τῷ ὕδατι· [8]ὕπνοισί τε μαλακοῖσι διαγέτω, ἡμέρῃσι δὲ πέντε τοὺς πόνους προσαγέτω κατὰ μικρόν.

84. Εἰσὶ δέ τινες οἳ φρίσσουσιν ἐκ τῶν γυμνασίων, καὶ, ἐπειδὰν [9]ἐκδύηται, μέχρις ἂν διαγωνίσηται· ὅταν δὲ ψύχηται, πάλιν φρίσσει· βρυγμός [10]τε τὸ σῶμα ἔχει· ὑπνώσσει τε, ὅταν [11]δὲ ἐξέγρηται, χασμᾶται πολλάκις· ἐκ δὲ τοῦ ὕπνου τὰ βλέφαρα βαρέα αὐτῷ· προϊόντος δὲ τοῦ χρόνου καὶ πυρετοὶ ἐπιγίνονται φαῦλοι, καὶ φλυαρεῖ. Φυλάσσεσθαι οὖν χρὴ [12]μὴ προΐεσθαι ἐς τοῦτο, ἀλλὰ θεραπεύεσθαι πρότερον ὧδε· πρῶτον μὲν τῶν γυμνασίων ἀφελέσθω [13]πάντα ἢ τὰ ἡμίσεα· τοῖσι δὲ σιτίοισιν ἅπασι χρήσθω ὑγροτέροισί [14]τε καὶ ψυχρο-

[1]Τῶν ὀρθρίων θ. – τοῦ om., restit. al. manu H. – βαρύνονται τοσούτῳ ὁκόσῳ θ. – τούτῳ (τουτέῳ Mack) pro τοσούτῳ ὁκ. vulg. – ξυμμετρίας (σ. IJK) vulg. – συμμετρίης EH. — [2]κενουμένου I. – δὲ pro γὰρ EHθ. – φρίσσει τε καὶ θ. – φρικώδη GIJK. — [3]ἀλλὰ θ. – τῶν om. K. — [4]τι (H, al. manu τινὰ) θ. – χρησάμενον G, Ald. – τὸ om. (H, restit. al. manu) θ. – πλέον θ. – πλεῖον vulg. — [5]χρῆσθαι θ. – ἱκανῶ θ. — [6]δὴ H. – θερμῶς EHJ. – τε om. EHθ. – ἠθισμένον Frob. – περιπάτω θ. – ἀπὸ τοῦ δείπνου θ. – δ' θ. – ὑστερέῃ J. — [7]τῶν.... ἀλιφέσθω θ. – τῶν.... ἀλειφέσθω om. vulg. – Cette lacune s'explique très-bien : le copiste de qui provient l'original du texte de vulg. a sauté d'ἀφελέσθω à ἀλειφέσθω. Par cette lacune dans vulg. ἀφελέσθω se trouvait rapproché de ἐν ὕδατι; aussi a-t-on proposé, au lieu de ἀφελέσθω, de lire ἀπολουέσθω, leçon qui a été reçue dans le texte de Linden et dans celui de Mack. La restitution fournie par θ remédie à tout. — [8]ἐν ὑπν. vulg. – ἐν om. (H, restit. al. manu) θ. – δὲ pro τε θ. – διαγέτω EHKQ'θ, Zwing. in marg., Lind., Mack. – διαγέσθω vulg. – ἡμέρῃσι δὲ πέντε τοὺς (τούτους J; οὗτος, τοῦτο Zwing. in marg.) προσαγέσθω vulg. – ἐν ἡμέρῃσι δὲ πέντε τοὺς πόνους προσ-

la tête est pesante d'autant plus que les promenades dépassent davantage la mesure ; en effet le corps et la tête, éprouvant une déperdition de l'humide, frissonnent et deviennent pesants ; au bout de quelque temps une fièvre avec frisson se met de la partie. Il ne faut pas laisser aller les choses jusque-là, mais auparavant on traitera ainsi : dès que se montrent quelques-uns des signes, le sujet fera des onctions et quelques frictions ; il déjeunera plus que d'habitude, et boira suffisamment d'un vin doux. Puis il dormira suffisamment après le déjeuner. Le soir il fera des exercices peu fatigants, prendra un bain chaud et dînera comme d'habitude. Il ne se proménera pas après le dîner, mais il usera le temps. Le lendemain, il retranchera le tiers de tous les exercices et des promenades ; mais il mangera comme d'habitude. Il prendra un bain tiède, et s'oindra avec de l'huile dans de l'eau. Il dormira mollement ; et en cinq jours il reviendra peu à peu à ses exercices.

84. (*Neuvième cas où les exercices l'emportent sur les aliments. Il est caractérisé par des frissonnements à la suite des exercices du gymnase.*) Il en est qui frissonnent à la suite des exercices, et, après avoir mis habit bas, jusqu'à l'engagement. Quand ils se sont refroidis, le frissonnement revient, et les dents claquent. Ils ont de la somnolence, et, se réveillant, ils baîllent souvent. Après le sommeil les paupières sont pesantes. Au bout de quelque temps surviennent des fièvres mauvaises, et le délire s'en mêle. Il faut prendre garde à ce que les choses n'aillent pas jusque-là, mais traiter auparavant ainsi :

αγέτω θ. – L'omission de πόνους a suggéré les essais de correction proposés par Zwinger. Au reste Linden a vu la vraie restitution et il a imprimé τοὺς πόνους. — [9] ἐκδύσωνται μέχρι διαπονήσωσιν θ. – μέχρι sine ἂν, al. manu μέχρις ἂν H. – διαπονήσωσιν EHQ'. – διαγωνήσωσι Zwing. in marg. — [10] τι pro τε G. — [11] δ' θ. – ἔκ τε θ. – ὕπνου θ, Mack. – δείπνου vulg. – αὐτῷ om. EHKθ. – ἐνγίνονται ἰσχυροὶ, καὶ φλυαρεῖ θ. – καὶ φλυαρεῖ om. vulg. — [12] μηδὲ Lind. – πρόεσθαι, al. manu προΐεσθαι H. – προσίεσθαι θ. – ἀλλ' ἐκδιαιτῆσθαι E (H, al. manu ἐκθεραπεύεσθαι) K (θ, ἐκδιαιτήσασθαι), (ἐκδιαιτεῖσθαι, Zwing. in marg., Lind.). – πρότερον om. EKθ. – Mack dit que θ a διαιτήσασθαι. — [13] πάντα ἢ τὰ ἡμίσεα θ, Mack. – πάντων τὰ ἡμίσεια (ἡμίσεα EGHIJK, Ald., Frob., Zwing., Lind.) vulg. – σίτοισι πᾶσι θ. — [14] δὲ pro τε HIJKθ.

τέροισι, καὶ τοῖσι πόμασι μαλακωτέροισι καὶ ὑδαρεστέροισιν· [1]ὅταν δὲ παρέλθωσιν ἡμέραι πέντε, τῶν πόνων προσθέσθω τὸ τρίτον μέρος τῶν ἀφαιρεθέντων· τοῖσι δὲ [2]σιτίοισι χρήσθω τοῖσιν αὐτοῖσι· πέμπτη δὲ ἡμέρῃ ἄλλῃ τοὺς ἡμίσεας τῶν λοιπῶν πόνων προσθέσθω· αὖθις δὲ πέμπτῃ μετὰ τοῦτο [3]ἀπόδος τοὺς πόνους πάντας κουφοτέρους καὶ ἐλάσσονας, ὡς μὴ πάλιν ὑπερβολὴ γένηται.

85. [4]Τοῖσι γὰρ πάσχουσι ταῦτα τὰ τεκμήρια οἱ πόνοι κρέσσους εἰσὶ τῶν σιτίων· ἀνισάζειν οὖν χρή. Ἔνιοι δὲ οὐ ταῦτα [5]πάντα πάσχουσιν, ἀλλὰ τὰ μὲν, τὰ δ' οὔ. Πάντων δὲ τουτέων τῶν τεκμηρίων οἱ πόνοι κρατέουσι τῶν σίτων, καὶ [6]ἡ θεραπείη ἡ αὐτή. Ξυμφέρει δὲ τούτοισι θερμολουτέειν [7]καὶ μαλακῶς εὐνάζεσθαι, μεθυσθῆναι [8]δὲ ἅπαξ ἢ δὶς, πλὴν ἀλλὰ μὴ ἐς ὑπερβολήν· ἀφροδισιάσαι τε ὅταν ἐπιγένηται· [9]ῥαθυμῆσαι πρὸς τοὺς πόνους, πλὴν τῶν περιπάτων.

[1] Ὁκόταν θ. – προσθέσθω τῶν πόνων θ. — [2] σίτοισι θ. – ἄλλῃ ἡμέρῃ Jθ. — [3] ἀποδοὺς θ. – καὶ (καὶ om. θ, Mack) κουφοτέρους τε (τε om. θ; δὲ pro τε Mack) καὶ vulg. – Mack dit que θ a δέ. — [4] τοῖσι.... εἰσὶ om. θ. — [5] πάντα θ. – πάντα om. vulg. – τούτων θ. – κραταίουσι G. – σιτίων J, Mack. — [6] ἡ om. θ. – συμφέρει θ. – τουτέοισι Lind., Mack. – θερμολουτεῖν θ. — [7] καὶ om. (H, restit. al. manu) θ. – μαλακευνεῖν pro μ. εὐνάζεσθαι θ. – εὐνάζεσθαι om., restit. al. manu H. – εὐμνάζεσθαι (sic) I. — [8] δὲ om. EHKθ. – Dacier, pour sauver Hippocrate du reproche d'avoir conseillé de s'enivrer une ou deux fois, prétend (et Mack le suit) que μεθυσθῆναι signifie seulement ici : *boire du vin pur*. – πλὴν ἀλλὰ om. (H, πλὴν restit. al. manu) θ. – ἀλλὰ om. EK. – εἰς E. – τε om. θ. – ὑποπτῇ (sic) pro ἐπιγένηται θ. — [9] [καὶ] ῥαθ. Lind. – πλὴν τῶν περιπάτων θ. – περιπάτους δὲ μὴ ποιῆσαι ὅλως pro πλ. τῶν π. vulg.

d'abord on retranchera tous les exercices gymnastiques ou la moitié. On usera des aliments de nature humectante et rafraîchissante, et de boissons plus molles et plus aqueuses. Au bout de cinq jours, on reprendra le tiers des exercices retranchés. On usera des mêmes aliments. Au bout de cinq autres jours, on reprendra la moitié du reste des exercices. Au bout de cinq jours encore, on se remettra à tous ses exercices, seulement moindres et moins fatigants, afin que derechef l'excès ne se fasse pas sentir.

85. (*Remarque générale sur les cas où les exercices l'emportent sur les aliments.*) De fait, chez tous ceux qui présentent ces symptômes, les exercices l'emportent sur les aliments. Il faut donc rétablir l'égalité. Quelques-uns n'ont pas tous ces accidents, mais les uns ont ceux-ci, les autres ceux-là. Avec tous ces signes les exercices surmontent les aliments, et le traitement est le même. Il convient de prendre des bains chauds, de dormir mollement, de s'enivrer une fois ou deux mais non d'une façon excessive, de se livrer au coït quand l'occasion s'en présente, de laisser les exercices excepté les promenades.

FIN DU TROISIÈME LIVRE DU RÉGIME.

ΠΕΡΙ ΔΙΑΙΤΗΣ.

ΤΟ ΤΕΤΑΡΤΟΝ Η ΤΟ ΠΕΡΙ ΕΝΥΠΝΙΩΝ.

DU RÉGIME.

LIVRE QUATRIÈME OU DES SONGES.

ARGUMENT.

L'auteur distingue deux espèces de songes : ceux qu'il nomme divins, et ceux qui proviennent d'un état du corps. Les premiers ont des interprètes qui possèdent un art régulier et des règles précises, aussi l'explication en est-elle satisfaisante. Mais quand ces mêmes interprètes appliquent leur art aux songes provenant d'un état corporel, alors leurs règles, précises tout à l'heure, deviennent incertaines ; et ce n'est plus que par hasard qu'ils rencontrent juste. C'est pour cette dernière catégorie de songes que l'auteur trace une interprétation médicale.

Ainsi, suivant ce partage des songes, les uns proviennent des dieux, et tombent dans le domaine des devins ; les autres proviennent du corps, et tombent dans le domaine des médecins. J'ai fait remarquer que c'est la doctrine fermement établie de l'auteur des traités *sur les Airs, les Eaux et les Lieux,* et *sur la Maladie sacrée,* que toutes les maladies sont naturelles, et qu'aucune n'est divine. L'auteur du livre du *Régime* fait pour les songes une dérogation à ce principe, qu'on doit dire hippocratique. Un tel compromis peut se comparer à celui que fit Descartes, quand, établissant l'automatisme des bêtes, il déclara du domaine de la *physique*

toute la nature jusques et y compris les animaux, et réserva l'homme seul à la *métaphysique*. Séparer les songes en deux catégories, l'une divine et l'autre naturelle, ou séparer le règne organique en deux parts, l'une animale et l'autre humaine, est une erreur analogue, et qui, dans les deux cas, a été inspirée par l'état mental de l'époque. On croyait trop à la divinité des songes du temps d'Hippocrate, on avait trop peu de lumières sur la biologie du temps de Descartes, pour que la conception véritable fût introduite d'un coup et tout à la fois.

L'auteur divise les songes que nous appellerons avec lui corporels : en ceux qui représentent les actions ou les pensées de la veille ; en ceux qui sont relatifs aux phénomènes célestes ; en ceux qui s'occupent d'objets terrestres ; en ceux où l'on se voit soi-même ; en ceux où l'on voit les morts ; enfin en songes qui offrent des visions diverses.

Le régime qu'il convient de suivre en chaque cas est exposé ; et le livre se termine par une phrase brève où l'auteur, rappelant l'ensemble de son travail, se donne de nouveau le témoignage d'avoir découvert les règles hygiéniques qui assurent la santé.

ΠΕΡΙ ΔΙΑΙΤΗΣ.

ΤΟ ΤΕΤΑΡΤΟΝ Η ΤΟ ΠΕΡΙ ΕΝΥΠΝΙΩΝ.

86. [1] Περὶ δὲ τῶν τεκμηρίων τῶν ἐν τοῖσιν ὕπνοισιν ὅστις ὀρθῶς [2] ἔγνωκε, μεγάλην ἔχοντα δύναμιν εὑρήσει πρὸς ἅπαντα. [3] Ἡ γὰρ ψυχὴ ἐγρηγορότι μὲν τῷ σώματι ὑπερητέουσα, ἐπὶ πολλὰ μεριζομένη, οὐ γίγνεται αὐτὴ ἑωυτῆς, ἀλλ' ἀποδίδωσί [4] τι μέρος ἑκάστῳ τοῦ σώματος, ἀκοῇ, ὄψει, ψαύσει, ὁδοιπορίῃ, [5] πρήξεσι παντὸς τοῦ σώματος· [6] αὐτὴ δ' ἑωυτῆς ἡ διάνοια οὐ γίνεται. [7] Ὁκόταν δὲ τὸ σῶμα ἡσυχάσῃ, ἡ ψυχὴ κινευμένη καὶ ἐπεξέρπουσα τὰ μέρη τοῦ σώματος διοικέει τὸν ἑωυτῆς οἶκον, καὶ τὰς τοῦ σώματος [8] πρήξιας ἁπάσας αὐτὴ διαπρήσσεται. Τὸ μὲν γὰρ σῶμα καθεῦδον οὐκ αἰσθάνεται, ἡ [9] δ' ἐγρηγοροῦσα γινώσκει, καθορῇ τε τὰ ὁρατὰ καὶ διακούει τὰ ἀκουστὰ, βαδίζει, ψαύει, λυπέεται, ἐνθυμέεται, ἐν ὀλίγῳ [10] ἐοῦσα, ὁκόσαι τοῦ σώματος ὑπηρεσίαι ἢ τῆς ψυχῆς, [11] ταῦτα πάντα ἡ ψυχὴ ἐν τῷ ὕπνῳ διαπρήσσεται. Ὅστις οὖν ἐπίσταται κρίνειν ταῦτα ὀρθῶς, μέγα μέρος ἐπίσταται σοφίης.

87. Ὁκόσα μὲν οὖν τῶν ἐνυπνίων θεῖά ἐστι καὶ προσημαίνει [12] τινὰ συμβησόμενα ἢ πόλεσιν ἢ τῷ ἰδιώτῃ λαῷ ἢ κακὰ ἢ ἀγαθὰ μὴ

[1] Ceci, dans EFGHIJKθ, Ald., est la suite du IIIe livre et ne commence pas le livre Des Songes.–τοῖς K.–La collation du Περὶ Ἐνυπνίων pour θ est due à M. le docteur Miclovich, qui a remplacé dans ce travail M. Pœschl, alors malade.— [2] ἔγνωκε θ.–γινώσκει (γιγν. I) vulg.— [3] ἡ γὰρ ψ. ἐγρήγορεν· ὅταν (ὅτε EHK) μὲν οὖν (οὖν om. EGHIJK, Ald.) (addunt τῷ GJK, Zwing. in marg., Lind., Mack) σώματι ὑπερητοῦσα (ὑπερητέουσα EIK) ᾖ (ᾖ om., restit. al. manu H), ἐπὶ vulg.–ἡ γὰρ ψ. ἐγρηγορότι μὲν τῷ σώματι ὑπερητοῦσα, ἐπὶ θ.–γίνεται EIJθ.–αὐτὴ ἐν sic (al. manu ἑ) αὐτῆς H.–ἑαυτῆς EIJK.— [4] τὸ pro τι θ.–Post σώματος addunt ἤγουν (ἢ Ald.) τοῖσιν (τοῖς EGIJK) αἰσθητηρίοισιν vulg.–ἤγουν τ. αἰσθ. om. (H, restit. al. manu) θ.— [5] πρήξει (πράξει E) καὶ (καὶ om., restit. al. manu H) πάσῃ τῇ (τῇ om., restit. al. manu H) τοῦ σώματος διανοίῃ (διακονίῃ Zwing.; διακονίῃ ex melioribus codd. lego, inquit Foes in not.) vulg.–πρήξεσι παντὸς τοῦ σώματος θ.— [6] αὕτη δὲ ἡ διάνοια ἑωυτῆς θ.–δ' ἑαυτῆς IJ.–δὲ αὑτῆς EHK.— [7] ὅταν θ.–κινεομένη θ.–ἐγρηγορεύουσα τὰ πρήγματα pro ἐπεξ. τὰ μ. τ. σώματος θ.–τὰ σώματα, al. manu τὰ μέρη H.–διοικέει τὸν ἑωυτῆς θ.–διοικεῖ τὸν ἑαυτῆς vulg.— [8] πρήξειας FG.–αὐτὴ EHK.–αὕτη vulg.— [9] δὲ γρηγοροῦσα (ἐγρηγορεύουσα θ) vulg.–D'après Mack, θ a ἐγρηγορέουσα.–δ' ἐγρηγοροῦσα

DU RÉGIME.

LIVRE QUATRIÈME OU DES SONGES.

86. (*De l'importance médicale des songes.*) Les signes qui se montrent dans le sommeil seront trouvés posséder pour toute chose une grande vertu par celui qui saura en juger sainement. En effet l'âme, alors qu'elle sert le corps éveillé, se partage entre plusieurs occupations et n'est pas à elle-même; mais elle donne une certaine portion de son activité à chaque affaire du corps, à l'ouïe, à la vue, au toucher, à la marche, à toutes les actions corporelles. De la sorte, l'intelligence ne s'appartient pas. Au lieu que, quand le corps repose, l'âme, mue et parcourant les parties du corps, gouverne son propre domicile et fait elle-même toutes les actions corporelles. En effet le corps, dormant, ne sent pas; mais elle, éveillée, a la connaissance, voit ce qui se voit, entend ce qui s'entend, marche, touche, s'afflige, se recorde, accomplissant, dans le petit espace où elle est, pendant le sommeil, toutes les fonctions du corps ou de l'âme. Aussi quiconque en sait juger sainement, connaît une grande partie de la science.

87. (*Les interprètes des songes expliquent fort bien et suivant un art exact les songes divins; mais ils n'ont aucune règle pour l'explication des songes relatifs à l'état du corps.*) Parmi les songes ceux qui sont divins et présagent, soit aux villes, soit aux particuliers, des événements heureux ou malheureux non causés par la faute des parties intéressées ont des interprètes

G. – γιγνώσκει I. – καὶ ὁρῇ τε τὰ ὁρητὰ καὶ ἀκούει θ. – λυπέεται θ. – λυπεῖται vulg. – ἐνθυμεῖται, al. manu ἐε H. — [10] ἐοῦσα θ. – ἐοῦσα om. vulg. – Mack, qui n'a pas admis ἐοῦσα, lit, au lieu de ἐν ὀλίγῳ, ἐνὶ λόγῳ, suivant, en cela, les traducteurs, qui mettent : in summa; ut semel dicam. – ὁκόσα θ. — [11] πάντα ταῦτα θ. – σοφίης om. θ, Mack. — [12] τινὰ.... προσημαίνει om. θ τινὰ συμβ. om., restit. al. manu H. – ἰδιώτησιν pro τῷ ἰδιώτῃ λαῷ EHKP'. – δὴ pro δι' EFG (H, al. manu, erat prius δι') IJK. – ἁμαρτοίην FGHJK. – ἀκριβῆ om., restit. al. manu H.

δι' αὐτῶν ἁμαρτίην, εἰσὶν οἳ κρίνουσι περὶ τῶν τοιούτων ἀκριβῆ τέχνην ἔχοντες· ὁκόσα δὲ ἡ ψυχὴ τοῦ σώματος παθήματα προσημαίνει, πλησμονῆς ἢ κενώσιος [1]ὑπερβολὴν τῶν ξυμφύτων, ἢ μεταβολὴν τῶν ἀηθέων, κρίνουσι μὲν καὶ ταῦτα, καὶ τὰ μὲν τυγχάνουσι, τὰ δὲ [2]ἁμαρτάνουσι, καὶ οὐδέτερα τούτων γινώσκουσι, διότι γίνεται, [3]οὔθ' ὅ τι ἂν ἐπιτύχωσιν, [4]οὔθ' ὅ τι ἂν ἁμάρτωσι· φυλάσσεσθαι δὲ παραινεῦντες, μή τι κακὸν λάβῃ, [5]οὐ διδάσκουσιν ὡς χρὴ φυλάξασθαι, ἀλλὰ θεοῖσιν εὔξασθαι κελεύουσι. Καὶ τὸ μὲν εὔχεσθαι [6]πρέπον καὶ λίην [7]ἐστὶν ἀγαθόν· δεῖ δὲ καὶ αὐτὸν ξυλλαμβάνοντα τοὺς θεοὺς ἐπικαλέεσθαι.

88. Ἔχει [8]δὲ περὶ τούτων ταῦτα ὧδε· [9]ὁκόσα τῶν ἐνυπνίων τὰς ἡμερινὰς πρήξιας τοῦ ἀνθρώπου ἢ διανοίας ἐς τὴν εὐφρόνην ἐνυπνιάζεται ὑστέρην, καὶ ἀποδίδωσι κατὰ τρόπον [10]γενόμενα, ὥσπερ τῆς ἡμέρης ἐπρήχθη ἢ ἐβουλεύθη ἐν δικαίῳ πρήγματι, ταῦτα τῷ ἀνθρώπῳ ἀγαθά· ὑγείην γὰρ σημαίνει, διότι ἡ ψυχὴ παραμένει [11]ἐν τοῖσιν ἡμερινοῖσι βουλεύμασιν, οὔτε πλησμονῇ τινι κρατηθεῖσα οὔτε κενώσει οὔτε ἄλλῳ οὐδενὶ ἔξωθεν προσπεσόντι. [12]Ὅταν δὲ πρὸς τὰς ἡμερινὰς πρήξιας ὑπεναντίωται τὰ ἐνύπνια καὶ ἐγγίνηται περὶ αὐτέων ἡ μάχη [13]ἢ νίκη, τοῦτο σημαίνει ταραχὴν ἐν τῷ σώματι· [14]καὶ ἢν μὲν ἰσχυρὴ ᾖ, ἰσχυρὸν τὸ κακόν, ἢν δὲ φαύλη, ἀσθενέστερον. Περὶ μὲν οὖν τῆς [15]πρήξιος, εἴτε δεῖ ἀποτρέπειν εἴτε μὴ [16]δεῖ, οὐ κρίνω,

[1] Ante ὑπ. addit ἢ θ. – ὑπερβολὴ, al. manu ἡν H. – ἀήθων θ. – συνηθέων K', Zwing., Mack. — [2] ἁμαρτάνουσι καὶ om. θ. – οὐδετέρως al. manu in marg. H. – διότι οὖν γίνεται vulg. – οὖν om., restit. al. manu H. — [3] οὐδ' θ. — [4] οὐδ' θ. – ἁμαρτάνωσι, al. manu ἁμάρτωσι H. – ἁμαρτῶσιν E. – παραινέοντες θ, Mack. – παραινοῦντες E. — [5] Ante οὐ addunt οἶδ' οὖν (E, οἶδ') FGHIJK, Ald.; οιδων (sic) θ. – φυλάξεσθαι IJ. – φυλάσσεσθαι θ. – κελεύοντες K. — [6] πρέπον καὶ λίην ἐστὶν om. θ. — [7] ἐστὶν om., restit. al. manu post ἀγαθὸν H. – ἀγαθόν ἐστιν EK. – συλλ. θ. — [8] δὲ EHKθ, Mack. – οὖν pro δὲ vulg. – Ante περὶ addit καὶ K. – τουτέων Mack. – D'après Mack θ a τουτέων; ma collation porte τούτων. – ταῦτα om. Hθ, Mack. — [9] C'est à ὁκόσα que commence le Περὶ Ἐνυπνίων dans EGHIJK, Ald. – ἑσπερινὰς pro ἡμερινὰς θ. – πρήξιας EHKθ, Mack. – πράξιας vulg. – ἢ διανοίας θ, Mack. – ἡ διάνοια vulg. – εὖ φρονεῖν pro εὐφρόνην θ. – ἀφρόνην (sic) G. – ἐνυπνιάζεται ὑστέρην καὶ om. θ. – ἑσπέρην (ὥσπερ ἦν Zwing. in marg., Lind., Mack) vulg. – Je pense qu'au lieu de ἑσπέρην il faut lire non ὥσπερ ἦν, mais ὑστέρην. – καὶ om., restit. al. manu H. — [10] γινομένας θ. – ὥσπερ EHQ', Zwing. in marg., Lind., Mack. – ἅπερ vulg. – ὅπερ θ. – Mack dit que θ a ὥσπερ. – τῆς ἡμέρης ἐπρήχθη θ (Mack, ἐπράχθη). – τῇσιν ἡμέρῃσιν ἐπράχθη vulg. – ἐπιβουλεύθη θ. – ἐπὶ pro ἐν θ. –

qui possèdent là-dessus un art exact. Mais les songes où l'âme annonce les affections corporelles, soit excès de plénitude ou d'évacuation des choses congénitales soit changement vers des choses inhabituées, sont expliqués aussi par les mêmes interprètes, qui, alors, tantôt rencontrent juste, tantôt se trompent, sans jamais savoir pourquoi il arrive que tantôt ils rencontrent juste et tantôt ils se trompent. Indiquant qu'il y a lieu de prendre garde à ne pas éprouver quelque mal, ils n'enseignent pas comment il faut se garder : ils se contentent de prescrire des prières aux dieux. Prier est sans doute chose convenable et excellente ; mais, tout en invoquant les dieux, il faut s'aider soi-même.

88. (*Des songes qui représentent ou qui contrarient les actions ou les pensées de la veille.*) Voici ce qu'il en est sur cet objet : les songes qui reportent les actions ou les pensées de la veille dans la nuit suivante et qui représentent d'une façon régulière ce qui a été fait ou délibéré pendant le jour dans une juste affaire, sont favorables ; ils indiquent la santé, parce que l'âme demeure dans les pensées du jour, n'étant surmontée ni par aucune plénitude ni par aucune déperdition ni par rien venant du dehors. Mais, quand les songes contrarient les actions de la veille et qu'il y a là-dessus bataille ou victoire,

πράγματι E. – ὑγιείην θ. — [11] ἐν om. HKθ. – πλεισμονῇ θ. – τινὶ om. (H, restit. al. manu) θ. — [12] ὁκόταν θ. – D'après Mack θ a ἑσπερινὰς au lieu de ἡμερινάς ; ma collation n'en dit rien. – πρήξιας EHKθ, Mack. – πράξιας vulg. – ἀπεναντίωται J. – ἐνγίνεται περὶ αὐτῶν θ. — [13] ἢ νικη (sic) σημαίνει τάραχον ἐν τῶ σώματι θ. – ἡνίκα ἂν τοῦτο (ταῦτα K ; τοῦτο om., restit. al. manu H) σημαίνει (σημαίνη H) ταραχὴν (ταραχὴ Ald.) ἐν τῶ σώματι EFGHIJK, Ald. – ἡνίκα ἂν τοῦτο συμβαίνῃ ταραχὴν σημαίνει ἐν τῷ σώματι vulg. – Il faut prendre la leçon de θ et lire ἢ νίκη, puis recevoir ou ne pas recevoir, comme on voudra, le sens restant le même, τοῦτο des mss. ; νίκη répond à ἰσχυρή ; μάχη à φαύλη. Συμβαίνῃ est un essai de correction quand une fois, ἡνίκα ayant remplacé ἢ νίκη, le véritable texte a été perdu. — [14] καὶ ἦν ἰσχυρὰ ἰσχυρὸν τὸ σῶμα θ. – Mack dit que θ a ὁκόταν au lieu de ἦν. — [15] πρήξιος EKθ. – πράξιος vulg. – εἴτ' ἀποτρέπειν, εἴτε μὴ οὐ κρίνω θ. — [16] δεῖ om. HK. – τοῦ ἀνθρώπου om. (H, restit. al. manu) θ. – συμβουλεύω θ. – πλεισμονῆς γάρ τινος ἐνγενομένης ἀπόκρισίς τις γενομένη ἐτάραξε θ. – D'après Mack θ a ἐγγενομένου. – ἐγγινομένης vulg. – γέγονε pro ἐγένετο EHKP'Q'. – ἔπραξε pro ἐτάραξε F, Ald., Zwing. in marg.

τὸ δὲ σῶμα τοῦ ἀνθρώπου θεραπεύεσθαι ξυμβουλεύω· πλησμονῆς γάρ τινος ἐγγενομένης ἀπόκρισις ἐγένετό τις, ἥτις ἐτάραξε τὴν ψυχήν. Ἢν μὲν οὖν ἰσχυρὸν ᾖ τὸ ἐναντιωθὲν, ἔμετόν τε [1]ξυμφέρει ποιήσασθαι, καὶ τοῖσι σιτίοισι κούφοισι προσάγειν ἐς ἡμέρας πέντε, [2]καὶ τοῖσι περιπάτοισιν [3]ὀρθρίοισι πολλοῖσι καὶ ὀξέσιν ἐκ προσαγωγῆς χρέεσθαι, καὶ τοῖσι [4]γυμνασίοισιν ἐπιγυμνάζεσθαι συμμέτροισι πρὸς τὴν προσαγωγὴν τῶν σιτίων. Ἢν δὲ ἀσθενέστερον τὸ [5]ἐναντιωθὲν γένηται, ἀφελὼν τὸν ἔμετον, τὸ τρίτον μέρος ἄφελε τοῦ σιτίου, καὶ [6]τοῦτο ἡσυχῇ προσάγου πάλιν ἐς τὰς πέντε ἡμέρας· καὶ τοῖσι περιπάτοισι πιέζειν, καὶ τοῖσι τῆς φωνῆς πόνοισι χρεέσθω, [7]καὶ τοῖσι θεοῖσιν εὐχέσθω, καὶ καταστήσεται αὐτῷ ἡ ταραχή.

89. Ἥλιον [8]δὲ καὶ σελήνην καὶ οὐρανὸν καὶ ἀστέρας καθαρὰ καὶ εὐαγέα, κατὰ τρόπον ὁρεόμενα ἕκαστα, ἀγαθά· ὑγείην γὰρ τῷ σώματι σημαίνει ἀπὸ πάντων τῶν ὑπαρχόντων· ἀλλὰ χρὴ διαφυλάσσειν ταύτην [9]τὴν ἕξιν τῇ παρούσῃ διαίτῃ. Εἰ δέ τι τούτων ὑπεναντίον γένοιτο, νοῦσόν τινα τῷ σώματι σημαίνει, ἀπὸ μὲν τῶν [10]ἰσχυροτέρων ἰσχυροτέρην, ἀπὸ δὲ τῶν ἀσθενεστέρων κουφοτέρην. [11]Καὶ ἄστρων μὲν οὖν ἡ ἔξω περίοδος, ἡλίου δὲ ἡ μέση, σελήνης δὲ ἡ πρὸς τὰ κοῖλα. Ὅ τι μὲν [12]οὖν δοκοίη τουτέων τῶν ἄστρων σβέννυσθαι ἢ βλάπτεσθαι ἢ ἀφανίζεσθαι ἢ [13]ἐπέχεσθαι τῆς περιόδου, [14]ἢν μὲν ὑπὸ ἠέρος ὁρᾷ ἢ νεφέλης τι τῶν ἄστρων τούτων πάσχον, ἀσθενέστερον, [15]ἢν δὲ ὑπὸ ὕδατος ἢ χαλάζης, ἰσχυρότερον· σημαίνει

